ΕΚΔΟΣΙΣ ΓΡΑΜΜΑΤΙΚΩΝ ΑΡΧΑΙΩΝ

# ΘΩΜΑ ΜΑΓΙΣΤΡΟΥ

ΗΤΟΙ

ΘΕΟΔΟΥΛΟΥ ΜΟΝΑΧΟΥ

# ΕΚΛΟΓΗ

## *ΟΝΟΜΑΤΩΝ ΚΑΙ ΡΗΜΑΤΩΝ ΑΤΤΙΚΩΝ.*

*ΕΚ ΤΗΣ*

*ΕΚΔΟΣΕΩΣ*

**FRIDERICI RITSCHELII**

ΥΠΟ

Α. Π.

*ΤΕΥΧΟΣ Β'.*

ΒΙΒΛΙΟΘΗΚΗ
ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΡΙΘ. ..................

ΕΝ ΑΘΗΝΑΙΣ
ΟΓΡΑΦΕΙΟΥ ΤΟΥ «ΚΑΛΟΥΣ»
1884

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΚ
Π2



Αριθ. εισ. 132388

ΕΚΔΟΣΙΣ ΓΡΑΜΜΑΤΙΚΩΝ ΑΡΧΑΙΩΝ

# ΘΩΜΑ ΜΑΓΙΣΤΡΟΥ

*ΗΤΟΙ*

## ΘΕΟΔΟΥΛΟΥ ΜΟΝΑΧΟΥ

# ΕΚΛΟΓΗ

*ΟΝΟΜΑΤΩΝ ΚΑΙ ΡΗΜΑΤΩΝ ἈΤΤΙΚΩΝ.*

*ΕΚ ΤΗΣ*

*ΕΚΔΟΣΕΩΣ*

**FRIDERICI RITSCHELII**

*ΥΠΟ*

Α. Π.

*ΤΕΥΧΟΣ Β΄.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

*ΕΝ ΑΘΗΝΑΙΣ*

***ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΟΥ ΚΑΛΛΟΥΣ***

**1883**

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παραινῶν. καὶ πάλιν ἐν Τίμωνι· διδοὺς ἅπασι τοῖς δεομένοις, ᾧ μὲν πέντε δραχμάς, ᾧ δὲ μνᾶν, ᾧ δὲ ἡμιτάλαντον. ὁ δὲ αὐτὸς οὗτος ἐξελέγχει τοῦτο ἐν τῷ ψευδο[σοφιστῇ ἢ] σολοικιστῇ αὐτοῦ.

Ἀφῆκεν εἰς τὸ πέλαγος, οὐκ ἐφῆκεν. Ἀριστείδης ἐν τῷ Αἰγαίῳ· ἀλλὰ διεξελθὼν ἐπ' ἄλλην ἀκτὴν κατάρας ἐκεῖθεν ἀφιέναι.

Καὶ ἀνακαλοῦμαι καὶ ἀνακαλῶ. Θουκυδίδης ἐν τῇ πρώτῃ· οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι τότε πρῶτον δι' αὐτὰ ταῦτα ἀνεκάλεσαν αὐτόν.

Ἀναισθητεύομαι μὴ εἴπῃς, ἀλλ' ἀναισθήτως ἔχω καὶ οὐκ αἰσθάνομαι καὶ ἀναισθητῶ. Δημοσθένης· ἐπεπείσμην δὲ ὑπὲρ ἐμαυτοῦ τυχὸν μὲν ἀναισθητῶν.

Ἀπολύομαι μέμψεως καὶ ἀπολύομαι τὴν μέμψιν, ἢ ἀπολύω.

Ἀριστείδης ἐν τῷ πρὸς Θηβαίους περὶ συμμαχίας δευτέρῳ· οἷς ἀπολύεσθε τὴν μέμψιν.

Ἀπόστολος ὁ ἀπεσταλμένος. Δημοσθένης· ἀλλ' οἱ μὲν ἐχθροὶ καταγελῶσιν, οἱ δὲ σύμμαχοι τεθνᾶσι τῷ δέει τοὺς τοιούτους ἀποστόλους. καὶ ἀπόστολος αὐτὴ ἡ ἀποστολή. Ἀριστείδης ἐν τῷ περὶ τοῦ μὴ πέμπειν βοήθειαν τοῖς ἐν Σικελίᾳ· χρήματα δ' ἡμῖν τὰ μὲν εἰς τὸν ἀπόστολον τὸν καλὸν ἐξανήλωται.

Αὐτομολία κάλλιον ἢ αὐτομόλησις. ὁ αὐτὸς ἐν

ΑΥΞΩΝ ΑΡΙΘ.
ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ περὶ τοῦ πέμπειν βοήθειαν τῆς ἐν Σικελίᾳ· καὶ πρὸς αὐτὰς τὰς αὐτομολίας.

Ἀνεβίωσα ἐγὼ ἀμεταβάτως· μεταβατικῶς δὲ Πλάτων ἅπαξ εἶπεν ἐν τῷ Φαίδωνι· ἐὰν πέρ γε ἡμῖν ὁ λόγος τελευτήσῃ καὶ μὴ δυνώμεθα αὐτὸν ἀναβιώσασθαι.

Ἀποδέχομαι καὶ αἰτιατικῇ καὶ γενικῇ. Δημοσθένης ἐν τῷ περὶ τῶν πρὸς Ἀλέξανδρου συνθηκῶν· ἄξιον ἀποδέχεσθαι, ὦ Ἀθηναῖοι, σφόδρα τῶν τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις διακελευομένων ἐμμένειν. Πλάτων ἐν Φαίδωνι· οὐκ ἀποδέχομαι ἐμαυτοῦ οὐδὲ ὥς. καὶ Συνέσιος ἐν τῇ Λύσαντες ἐκ Βενδιδείου ἐπιστολῇ· καὶ ἡμεῖς ἀποδεχόμεθα λέγοντος.

Ἀπρονόητος καὶ ὁ μὴ προνοῶν καὶ ὁ μὴ προνοούμενος παρά τινος. Λουκιανὸς ἐν τῷ Ζεὺς τραγῳδός· ἢ ὄντας ἀπρονοήτους εἶναι αὐτῶν.

Καὶ ἀγὼν καὶ ἀγωνία. Πλάτων ἐν Γοργίᾳ· δεῖ μέντοι, ὦ Σώκρατες, τῇ ῥητορικῇ χρῆσθαι καθάπερ τῇ ἄλλῃ πάσῃ ἀγωνίᾳ· καὶ γὰρ τῇ ἄλλῃ ἀγωνίᾳ οὐ τούτου ἕνεκα δεῖ πρὸς ἅπαντας χρῆσθαι ἀνθρώπους. (ἐκ δὴ τῆς ἀγωνίας ταύτης τῆς τὸν ἀγῶνα δηλούσης καὶ ἡ ἀγωνία ἤγουν ὁ φόβος παρήχθη.)

Ἀμφίεσμα τὸ ἔνδυμα, καὶ ἀμφίεσις. ὁ αὐτὸς ἐν τῷ αὐτῷ· καὶ τὰ αὐτῶν ἀμφιέσματα καὶ τὰ τῶν κρινομένων.

Ἀναγινώσκω τὸ βιβλίον διέξειμι· καὶ ἀναγινώσκω τὸ ἀναγνωρίζω, ἀφ' οὗ καὶ ἀνάγνωσις ἡ τῶν πρώτων μαθημάτων τῆς ψυχῆς ἀναγνώρισις ὡς προειδυίας ταῦτα, ὡς ὁ φιλόσοφος λόγος. εὕρηται δὲ καὶ παρ' Ἡροδότῳ ἀναγινώσκω τὸ ἀναπείθω,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὡς ἐν τῇ πρώτῃ· οἴ μιν ἀνέγνωσαν μετεῖναι Κῦρον.

Ἄφθονος ὁ πολὺς καὶ ὁ μὴ φθονούμονος καὶ ὁ μὴ φθονῶν. Ἡρόδοτος ἐν τῇ τρίτῃ· ἄνδρα γε τύραννον ἄφθονον ἔδει εἶναι.

Ἀλογία ἡ τοῦ λόγου στέρησις καὶ ἡ ἀφροντισία· ὡς ὁ αὐτὸς ἐν τῇ τετάρτῃ. ἀλογίην εἶχον τοῦ χρηστηρίου.

Ἀρὰ οὐ μόνον ἡ κατάρα, ἀλλὰ καὶ ἡ εὐχή. ὁ αὐτὸς ἐν τῇ ἕκτῃ· ἀρὴν ἐποιήσαντο παῖδα γενέσθαι.

## Β.

Βῶλος ἐπὶ θηλυκοῦ, εἰ ἐπὶ γῆς λαμβάνεται. Συνέσιος ἐν ἐπιστολῇ τῇ Οἶμαί σου τὴν θεσπεσίαν ψυχήν· τὴν πατρῴαν βῶλον ὑποτελῆ τῇ συγκλήτῳ δεξάμενος. ἐπὶ δὲ ἁπλῶς λίθου καὶ ἀρσενικῶς καὶ θηλυκῶς ἐκφέρειν δεῖ. Εὐριπίδης ἐν Ὀρέστῃ·

φερομέναν βῶλον ἐξ Ὀλύμπου.

Σοφοκλῆς ἐν Αἴαντι·

ὑγρᾶς ἀρούρας βῶλον ὃς ἔμελλε.

Βαλαντιοκλέπτης, οὐ βαλαντοκλέπτης. καὶ βαλαντιοτόμος, οὐ βαλαντοτόμος.

Βλάβος ἐπὶ οὐδετέρου δοκιμώτερον ἢ βλάβη.

Βλήχων, οὐ γλήχων. ἔστι δὲ εἶδος βοτάνης ἡ ἰδιωτικῶς λεγομένη βλησκούνη.

Βιβλιογράφος, οὐ βιβλιαγράφος. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης· τρέπει μὲν ἐπὶ τοῦτο τῶν βιβλιογράφων δέκα.

Βυρσοδέψης, οὐ βυρσεύς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Βὴξ καὶ ἐπὶ θηλυκοῦ καὶ ἐπὶ ἀρσενικοῦ. Ἀριστείδης (ἐν τρίτῳ τῶν ἱερῶν·) βὴξ βαρεῖα. Θουκυδίδης ἐν τῇ δευτέρᾳ· κατέβαινεν ἐς τὰ στήθη ὁ πόνος μετὰ βηχὸς ἰσχυροῦ.

Βομβύκιον, οὐ βαμβύκιον.

Οἱ κυρίως Ἀττικοὶ ἐπὶ ἀρσενικοῦ ὁ βάτος λέγουσιν, οὐχ ἡ βάτος.

Βραγχᾶν, οὐ βραγχιᾶν· καὶ βράγχος οὐδετέρως.

Βραδύτερον, οὐ βράδιον· ποιητικὸν γάρ. καὶ Ἡσίοδος ἐν ἡμέραις·

βράδιον δὲ Πανελλήνεσσι φαείνει.

ἐκείνου δὲ μάρτυς Λιβάνιος ἐν ἐπιστολῇ· καί σε εἰ καὶ βραδύτερον, ἀλλὰ καὶ σεμνότερον ὄψομαι.

Βλὰξ καὶ ὁ τρυφῇ χαίρων, καὶ ὁ ἀναίσθητος καὶ πρὸς τὰ καλὰ ἀκινήτως ἔχων καὶ νωθρῶς. Ἀριστείδης ἐν τῷ πρὸς τοὺς αἰτιωμένους ὅτι μὴ μελετῴη· ἦ γὰρ ἂν παντάπασι βλὰξ εἴην τις. ὡσαύτως καὶ βλακεία καὶ ἡ τρυφὴ καὶ ἡ ἀναισθησία.

Βάρος νοῦ λέγειν βέλτιον ἢ μέγεθος.

Βλαβεῖμεν, βλαβεῖτε, βλαβεῖεν, οὐχὶ βλαβείημεν, βλαβείητε, βλαβείησαν. οἱ γὰρ Ἀττικοὶ ἐν πᾶσι πληθυντικοῖς τῶν εὐκτικῶν βαρυτόνων τε καὶ περισπωμένων καὶ τῶν εἰς μι παραληγομένοις τῷ η ἀποβάλλουσιν αὐτό, οἷον τυφθεῖμεν, ποιοῖμεν, βαῖμεν. πλὴν φυλάττεσθαι δεῖ τὸ κακόφωνον, ἔνθα ἂν τύχῃ, ὡς ἐπὶ τοῦ βαῖτε καὶ σταῖτε καὶ τῶν ὁμοίων.

Βέβαιος ἐπὶ θηλυκοῦ κρεῖττον ἢ βεβαία. Ἀριστείδης· βέβαιον τὴν αἰτίαν ἔχοιεν ἄν.

Ἡ βοῦς, οὐχ ὁ βοῦς. ἀρσενικῶς δὲ μόνον τὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς παροιμίας ἐκφέρομεν βοῦν, οἷον τὸν βοῦν ἐπὶ γλώττης φέρει. ὡσαύτως ἐπὶ θηλυκοῦ καὶ τὸ τῶν βοῶν λέγομεν ἄθροισμα, οἷον τὴν βοῦν ἐλῃίσαντο. (λέγε δε ἐπὶ μὲν τῆς εὐθείας τῶν πληθυντικῶν βόες, εἰ καὶ Ἀριστοφάνης κἂν ἀναγκασθεὶς ἅπαξ βοῦς εἶπεν· ἐπὶ δὲ τῆς αἰτιατικῆς βοῦς.)

Βόλιτα λέγε τὴν τῶν βοῶν κόπρον, μὴ βόλβιτα.

Βαλάντιον καὶ πήρα ῥήτορες, οὐ μαρσίπιον.

Βρωμᾶται ὄνος, οὐκ ὀγκᾶται. Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ· ὄνοι βρωμώμενοι. τὸ δὲ ὀγκᾶται οὐδεὶς τῶν ῥητόρων εἶπε.

Βατὶς θηλυκῶς ὁ ἰχθύς, οὐχὶ βάτος.

Βραβεύς, οὐ βραβευτής. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

ὅσων γὰρ εἰσεκήρυξαν οἱ βραβεῖς
δρόμων διαύλων.

ἔστι δὲ ὁ ἀγωνοθέτης, ὁ τὰ βραβεῖα τοῖς νικῶσι διδούς.

Βιασάμενος κόρην λέγε, μὴ φθείρας. καὶ βεβιασμενη, οὐκ ἐφθαρμένη

Βόθρος, οὐ βόθυνος οὐδὲ λάκκος· ταῦτα γὰρ οὐκ ἴσασιν Ἀττικοί.

Βλαφθέντες δοκιμώτερον ἢ βλαβέντες· ὡσαύτως καὶ βλαφθῆναι ἢ βλαβῆναι. Θουκυδίδης· τῷ μεγίστῳ τοῦ ὁπλιτικοῦ βλαφθῆναι.

Βελόνη καὶ βελοπώλης ἀρχαῖα, ἡ δὲ ῥαφὶς ἀδόκιμον. ῥάπτω μέντοι καὶ ῥάμμα, αὐτὸ τὸ ἐρράφθαι, ἐν χρήσει. Ἀριστείδης ἐν Διονύσῳ· καλέσας τὰς νύμφας λύει τὸ ῥάμμα.

Βάκηλος· ἁμαρτάνουσιν οἱ τιθέντες αὐτὸ ἐπὶ τοῦ βλακός. σημαίνει γὰρ τὸν ἀποτετμημένον τὰ αἰ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δοῖα, ὃν Βιθυνοί τε καὶ Ἀσιανοὶ Γάλλον καλοῦσι. λέγε οὖν βλάκα καὶ βλάκιον, ὡς οἱ ἀρχαῖοι.

Βάτταλος ἐπὶ μαλακοῦ τάττεται, ὑπό τινος ὑποκριτοῦ Βαττάλου γυναικείοις πεδίλοις χρησαμένου. ὅθεν καὶ Δημοσθένης σκωπτόμενος παρὰ τῶν ἐχθρῶν εἰς μαλακίαν Βάτταλος ἐκαλεῖτο.

Βρέχειν οὐδεὶς τῶν ἀρχαίων εἶπεν ἐπὶ ὑετοῦ, ἀλλ' ὕειν. Ἀριστοφάνης ἐν νεφέλαις·

ἀλλὰ τίς ὕει;

καὶ ὕεσθαι παθητικῶς. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· πάντες γὰρ ὕονται. καὶ οὐκ εἰκάσαι γε ἡμᾶς ὅτι ὕονται. τὸ βρέχω μέντοι ἐπὶ τῶν ἀπαλυνομένων ὑπὸ ὕδατός φασι· σημείωσαι δέ, ὡς ἐπὶ τοῦ παθητικοῦ παρακειμένου καὶ τῶν ἐξ αὐτοῦ πάντων χρόνων χώραν ἔχει τὸ βρέχω καὶ ἐπὶ ὑετοῦ λαμβάνεσθαι. Ἀριστοφάνης ἐν νεφέλαις·

πρὶν ἂν τουτὶ πτύξωμαι μὴ καταβρεχθῶ.

καὶ Ἀριστείδης ἐν τῷ αὐτῷ· ὅπου γὰρ καὶ ἡ γῆ ψιλὴ βρεχθεῖσα.

Βαβαὶ λογογραφικόν, βαβαιὰξ ποιητικόν. Ἀριστοφάνης ἐν βατράχοις.

βαβαιὰξ μυριάκις ἐν τῷ βίῳ.

Βασίλεια γυνή. Αἰσχύλος ἐν Πέρσαις.

βασίλεια γύναι,

καὶ βασιλίς. βασιλὶς μέντοι καὶ βασίλειος πόλις καὶ οἰκία καὶ ναῦς, οὐ μὴν καὶ βασιλεία· βασίλειος δ' αὖ μόνον δημηγορία καὶ ἐπιστολή. Φιλόστρατος ἐν σοφιστῶν βίοις· διῆγε τὰς βασιλείους φροντίδας. βασίλισσα δὲ γυνὴ οὐδεὶς τῶν ἀρχαίων εἶπε.

Βασίλεια κρεῖττον ἢ ἀνάκτορα· τὸ δὲ παλάτια ἀδόκιμον. ἀρχεῖα δὲ παρά τισιν εὕρηται.

Βαρὺς τὴν ὀφρὴν κάλλιον ἢ σκυθρωπός.

Ἐκ βαθέων ἐστὶν ὁ δεῖνα οἴκων λέγε, ἢ ἐκ γονέων πλουσίων.

Βεβὼς Ἀττικοὶ λέγουσιν, οὐ βεβηκώς, καὶ βεβᾶσιν, οὐ βεβήκασι.

Βρώματα πληθυντικῶς, οὐ βρῶμα οὐδὲ βρῶσις.

Τὸν βίον ἐκ χειρῶν ποιεῖται ἐρεῖς, οὐ τὰ πρὸς τροφήν. Λιβάνιος ἐν τῇ Οἴᾳ τετόλμηται ἐπιστολῇ· εἰ τὸν βίον ἐκ χειρῶν ποιουμένῃ συγκατακλίνοιτο τῷ δοῦναι δυναμένῳ.

Βασιλεὺς κυρίως ὁ πατρόθεν ἢ ἄλλως ἀπὸ γένους ἔχων τὴν ἀρχήν· κοίρανος ὁ πρὸς καιρὸν τὸ τοῦ βασιλέως ἔργον ποιῶν· ἡγεμὼν δὲ ὁ τάξεως στρατιωτικῆς ἡγούμενος. τὸ δὲ ἄρχων καὶ ἐπὶ τῶν τριῶν λαμβάνεται· τὸ μέντοι κρατῶν ἐπὶ μόνου τοῦ βασιλεύοντος.

Βουλευτήριον, οὐ βουλεῖον δῆθεν ἀπὸ τοῦ βουλή. ἔστι δὲ βουλευτηριον οὐ μόνον ὁ τόπος ἐν ᾧ βουλεύονται, ἀλλὰ καὶ αὐτοὶ οἱ βουλευταί. Συνέσιος ἐν ἐπιστολῇ· ἐπειδή μοι παρὰ παντὸς συνέστη τοῦ βουλευτηρίου. ἀλλὰ δὴ καὶ τὸ σχολεῖον ἐνῷ ἐδίδασκον καὶ ἠγωνίζοντο οἱ διδάσκαλοι. Ἀριστείδης ἐν τῇ ἐπὶ Σμύρνῃ μονῳδίᾳ· ποῦ μοι τὸ βουλευτήριον; ποῦ νέων καὶ πρεσβυτέρων σύνοδοι καὶ θόρυβοι; Λιβάνιος ἐν ἐπιστολῇ· τοῦτον ἥκοντα μὲν εὐθὺς εἰσήγομεν εἰς τὸ βουλευτήριον.

Βάραθρος ἀρσενικῶς ὁ βαράθρου ἄξιος ἄνθρωπος· βάραθρον δὲ ὄρυγμά τι, εἰς ὃ τοὺς κακούργους

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔβαλλον. κρεῖττον δὲ λέγειν βαράθρου ἄξιος ἢ ὀλέθρου.

Βιοῦν ἐπὶ ἀνθρώπων, ζῆν δὲ καὶ ἐπί ἀνθρώπων καὶ ἐπὶ ἄλλων ζώων. ἐντεῦθεν Ἀριστοτέλης τὸν βίον ὡρίσατο οὕτως· βίος ἐστὶ λογικὴ ζωή.

Βλέπειν τὸ ἁπλῶς ὁρᾶν· θεᾶσθαι δὲ καὶ τὸ ὁρᾶν τι τῶν ἐν τῷ θεάτρῳ γινομένων, οἷον πάλην, πυγμὴν καὶ τὰ τοιαῦτα. ἐξ οὗ καὶ θέατρον, ὁ ἀγών. ἔστι δὲ θεᾶσθαι καὶ τὸ κατανοεῖν. Εὐριπίδης ἐν Ὀρέστῃ

θεᾶσθαι δ' ὧδε χρὴ τὸν προστάτην.

Βασκαίνω οὐ μόνον ἀντὶ τοῦ φθονῶ, ὅπερ πρὸς δοτικὴν συντάσσεται, ἀλλὰ καὶ ἀντὶ τοῦ μέμφομαι καὶ διαβάλλω παρὰ τοῖς παλαιοῖς εὕρηται, καὶ συντάσσεται πρὸς αἰτιατικήν. Δημοσθένης ἐν τῷ περὶ τῶν ἐν Χερρονήσῳ· ταύτην βασκαίνειν καὶ διαλύειν πειρᾶσθαι. καὶ πάλιν ἐν τῷ αὐτῷ λόγῳ· ἀλλὰ βασκαίνομεν καὶ σκοποῦμεν, πυθεν καὶ τί μέλει ποιεῖν. καὶ Ἀριστείδης ἐν τῷ περὶ τοῦ πέμπειν βοήθειαν τοῖς ἐν Σικελίᾳ· ὅσον φιλονεικίας ἢ τοῦ βασκαίνειν τὸν ἄνδρα ἀφέστηκα.

Βοηθεῖ μὲν ὁ συνὼν τινι, ἐπικουρεῖ δ. ὁ ἔξωθ.ν εἰς βοήθειαν ἥκων· καὶ συμμαχεῖ δὲ ὁ αὐτόθεν, ὑπερμαχεῖ δὲ ὁ ἀδυνάτῳ χρησιμευων, ἀμύνει δὲ ὁ ὑπὲρ τοῦ πεπονθότος κακῶς τῷ δεδρακότι μαχόμενος. πάντα δὲ ταῦτα καὶ ἀντὶ τοῦ βοηθεῖν ἁπλῶς λαμβάνεται.

Βουκολεῖν τὸ τρέφειν· ἀποβουκολεῖν δὲ τὸ ἀποπλανᾶν, ὡς ἔφη τις τῶν σοφῶν· φθάνει τις ταῖς ἐλπίσιν ἡμᾶς ἀποβουκολῶν. καὶ Λουκιανὸς ἐν Ἑρμοῦ

καὶ Πλούτωνος διαλόγῳ· εὖ μάλα διαβουκολεῖ αὐτοὺς καὶ (ἐπ) ελπίζει, ἤγουν ἀπατᾷ καὶ εἰς ἐλπίδας ἄγει.

Βρύχειν τοὺς ὀδόντας, οὐ τρύζειν.

Βαρβαροκτόνος ὁ κτείνων τοὺς βαρβάρους, βαρβαρόκτονος δὲ ὁ ὑπὸ βαρβάρων κτανθείς· ὥσπερ καὶ πενθερόκτονος καὶ πενθεροκτόνος καὶ ὅσα τοιαῦτα.

Βύειν ἐπὶ ὤτων, καταμμύειν ἐπὶ ὀφθαλμῶν, συμμύειν ἐπὶ στόματος, μύειν δὲ ἐπὶ πασῶν τῶν αἰσθήσεων, ὡς τὸ τοῦ θεολόγου· μύσαντα τὰς αἰσθησεις.

Βωμολόχος ὁ φλύαρος, ἐκ μεταφορᾶς τῶν τοῖς βωμοῖς ἐλλοχώντων πενήτων ἵνα τι τῶν θυομένων ἢ ὑφέλωσιν ἢ ἁρπάσωσιν· εἰς τοῦτο δ' ἰόντες οἱ τοιοῦτοι καὶ ἄθεσμά τινα ἔλεγον.

Οὐ μόνον βαρβαρικὸς πόλεμος, ἀλλὰ καὶ βάρβαρος. Θουκιδίδης· βάρβαρον ἢ Ἕλληνα πόλεμον.

Τὸ βασανίζειν ἐπὶ δοκιμασίας λαμβάνεται, καὶ τῆς διὰ λόγων καὶ τῆς διὰ τιμωρητικῶν ὀργάνων. μὴ λέγε οὖν βεβασάνισται ὑπὸ νόσου, ἀλλ' ἐξήτασθαι.

Βαρύνειν χρήσιμον, βαρεῖν δὲ ἄχρηστον παρὰ τοῖς δοκιμωτάτοις τῶν παλαιῶν· πλὴν ἐπὶ τοῦ παρακειμένου οὐ βεβάρυγκα λέγουσιν, ἀλλὰ βεβάρηκα, εἰς παθητικοῦ σημασίαν. Ἀριστείδης ἐν τετάρτῳ τῶν ἱερῶν· οἱ δ' ἧκον οἴνῳ βεβαρηκότες οἱ ναῦται.

Τὰ εἰς **κος** τινὰ μέν εἰσι κτητικά, οἷον βασιλικὸς λόγος, ἢ ὃν ἔγραψε βασιλεὺς ἢ ὃν ἔγραψέ τις εἰς βασιλέα· (Πλατωνικὸν βιβλίον·) τινὰ δὲ δηλοῦσιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπιτηδειότητά τινος εἴς τι, οἷον δρομικὸς ὁ ἐπιτηδειότητα ἔχων εἰς δρόμον, κἂν μηδέπω ἔδραμε, καὶ πυκτικὸς ὁ ἐπιτηδειότητα ἔχων εἰς τὸ πυκτεύειν· τὰ δὲ λέγονται ἐνεργείᾳ, οἷον μουσικὸς ὁ εἰδὼς μουσικήν, καὶ γραμματικὸς ὁ εἰδὼς γραμματικήν· τὰ δὲ φύσει, οἷον λογικὸς ὁ λόγῳ χρώμενος.

Βέλος τὸ πεμπόμενον, καὶ αὐτὴ ἡ βολή, καὶ τὸ ἐκ τῆς βολῆς τραῦμα. Ὅμηρος δὲ καὶ τὴν ὠδίνουσαν ὀξὺ βέλος ἔχειν φησίν.

Οὐ μόνον βουλεύομαι, ἀλλὰ καὶ βουλεύω. Λιβάνιος ἐν τῷ Ἀντιοχικῷ ἐν ᾗ τινες ἦσαν τῆς εὑρέσεως ἐλπίδες, οὕτως ἐβούλευσαν. καὶ βουλεύω ἀντὶ τοῦ βουλευτής εἰμι· ἐπιβουλεύω δὲ τὸ ἐπιβουλὴν ἀρτύω κατά τινος. καὶ αὖ ἐπιβουλεύω τὸ μετά τι βουλεύομαι. Ἀριστοφάνης ἐν Πλούτῳ.

Τί δὲ ταῦτ' ἐπιβουλεύει ποιεῖν ἡμᾶς;

καὶ Θουκυδίδης ἐν τῇ τρίτῃ· ἐπιβουλεύουσιν αὐτοί τε καὶ Ἀθηναίων οἱ ξυμπολιορκούμενοι πρῶτοι μὲν πάντες ἐξελθεῖν.

Ἰστέον δὲ ὅτι τὸ βούλομαι μετὰ παρῳχημένου καὶ ἐνεστῶτος μόνον τίθεται, οὐδέποτε δὲ μετὰ μέλλοντος. Ὅμηρος ἐν ά. Ἰλιάδος.

βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι.

Θουκυδίδης ἐν (τῇ) ἑβδόμῃ· βουλόμενοι ἐκ τῶν οἰκιῶν λαβεῖν τι ἐδώδιμον. Λουκιανὸς ἐν τοῖς ἀληθινοῖς· βούλομαι αὖθις ἐξενεγκεῖν.

Ὡσαύτως καὶ τὸ θέλω, καὶ ἐθέλω ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· ὁμήρους ἐπὶ τούτοις δοῦναι ἤθελε.

Καὶ τὸ βιάζω δὲ καὶ τὸ ἀναγκάζω. Θουκυδίδης ἐν τῇ πρώτῃ· ὁμολογίᾳ ἀναγκάσαντες ἀποδοῦ-

ναι τὴν πόλιν. καὶ αὖθις ἐν τῇ τετάρτῃ· οὐκ ἀνέμειναν ἀνάγκην σφίσι γενέσθαι.

Καὶ τὸ ἐπιθυμῶ δὲ καὶ τὸ ἀξιῶ καὶ τὸ δέομαι καὶ τὸ ἱκετεύω καὶ τὸ ποθῶ. ὁ αὐτὸς ἐν τῇ ἕκτῃ· ἑτέρους ἐπιθυμεῖν ἐκεῖσε πλεύσαντας δεύτερον ἐπαγαγέσθαι· ὁ αὐτὸς αὖθις ἐν τῇ πέμπτῃ· ἠξίουν σφίσιν ἀποδοῦναι. καὶ αὖθις ἐν τῇ αὐτῇ· ἐδέοντο σφίσιν Πάνακτόν τε καὶ τοὺς Ἀθηναίων δεσμώτας παραδοῦναι. Λουκιανὸς ἐν τῷ ρητόρων διδάσκαλος· ἐπιθυμῶν δηλαδὴ ὅτι τάχιστα γενέσθαι ἐπὶ τῆς ἄκρας. ὁ αὐτὸς ἐν τοῖς ἀληθινοῖς· ἠξίουν ἀποπεμφθῆναι κάτω. καὶ αὖθις ἐν τοῖς αὐτοῖς· ἱκέτευον εἰπεῖν τὰ μέλλοντα. καὶ πάλιν ἐν τῷ ρητόρων διδάσκαλος· οἶπερ ἐξ ἀρχῆς ἐπόθεις ἐλθεῖν.

Ὡσαύτως καὶ τὸ μαν·εύομαι καὶ τὸ ἐῶ καὶ τὸ παραιτοῦμαι καὶ τὸ ὀρέγομαι καὶ τὸ κελεύω καὶ τὸ δύναμαι καὶτὸ ζητῶ καὶ τὸ ὀφείλω καὶ τὸ ἀγωνίζομαι καὶ τὸ παοτινῶ καὶ τὸ τολμῶ. Λουκιανὸς ἐν τοῖς νεκρικοῖςδιαλόγοις· οὐδὲ πώποτε προμαντευομένους οὕτω γειεσθαι ταῦτα. ὁ αὐτὸς ἐν τοῖς ἐναλίοις· ἐάσατε ρῖψαι ἐμαυτόν. καὶ αὖθις ἐν τοῖς αὐτοῖς· τὸ βρέφος δὲ παρῃτεῖτο μὴ ἀποθανεῖν. καὶ αὖθις ἐν τῷ θεῶν κρίσις· καὶ τούτων ὀρέγεσθαι τυχεῖν. καὶ αὖθις ἐν τοῖς νεκρικοῖς· τὸν Ἑρμῆν κέλευσον ἀπεργάσασθαι αὐτὸν, οἷος ἦν ἐκ τοῦ παστοῦ. Ἀριστειδης ἐν δευτέρῳ τῶν ἱερῶν· κελεύει καταβάντα εἰς τὸν ποταμὸν τὸν πρὸ τῆς πόλεως ρέοντα λούσασθαι. ὁ αὐτὸς ἐν τῷ αὐτῷ· τίς ἐνδείξασθαι δυνηθείη; καὶ αὖθις ἐν τῷ αὐτῷ· ἔδοξεν οὖν ἡμῖν οὐ χεῖρον εἶναι μεταπέμψασθαι καὶ τὸν νεωκόρον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Θουκυδίδης ἐν τῇ τρίτῃ· πρὸς Ἀθηναίους ἐκελεύτ τραπέσθαι. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· ἐζήτησάν τε μετα τῶν πολεμιωτάτων ἡμᾶς στάντες διαφθεῖραι. αὐτὸς αὖθις ἐν τῇ τετάρτῃ· ὀφείλων ἤδη ὁ ἐναντίος μὴ ἀνταμύνεσθαι ὡς βιασθεὶς ἀλλ' ἀνταποδοῦναι ἀρετήν. καὶ αὖθις ἐν τῇ τετάρτῃ· καὶ ἀγωνίσασθαι τοῖς Ἕλλησιν ἄρξαι πρῶτοι ἐλευθερίας. καὶ ἐν τῇ ὀγδόῃ· ἠγωνίζετο οὖν εἷς ἕκαστος αὐτὸς πρῶτος προστάτης τοῦ δήμου γενέσθαι. καὶ ἐν τῇ τρίτῃ· παραινούντων Ἀθηναίων σφᾶς ἐᾶσαι πρῶτοι ἐκπλεῦσαι. καὶ ἐν τῇ ἑβδόμῃ· τολμῆσαι πρὸς τὸ Ἀθηναίων ναυτικὸν ἀντιστῆναι.

Καὶ τὸ τάττω δὲ καὶ πείθομαι καὶ κινδυνεύω καὶ ἕπω τὸ λέγω καὶ ἐπείγομαι καὶ ὁρμῶ καὶ ὠθῶ καὶ διανοοῦμαι καὶ ἔχω καὶ ἐπιστέλλω τὸ προστάσσω καὶ κωλύω καὶ ψηφίζομαι καὶ ὀκνῶ καὶ σπεύδω. ὁ αὐτὸς Θουκυδίδης ἐν τῇ δευτέρᾳ· ταξάμενοι κατὰ χρόνους ἀποδοῦναι. καὶ αὖθις ἐν τῇ τρίτῃ· ἔργῳ δὲ πεπεισμένοι Κερκυραίοις Κόρινθον προσποιῆσαι. καὶ Ἀριστείδης ἐν τῷ Ροδίοις περὶ ὁμονοίας· ἐπεὶ δὲ λόγῳ ψιλῷ δεῖ πείσαντα καταστήσασθαι τὰ πράγματα. Θουκυδίδης ἐν τῇ τρίτῃ· καὶ ἡ πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι. καὶ αὖθις ἐν τῇ τετάρτῃ εἶπον δὲ τούτοις καὶ Κερκυραίων τῶν ἐν τῇ πόλει ἐπιμεληθῆναι. καὶ πάλιν ἐν τῇ αὐτῇ· ἠπείγοντο φθῆναι τοὺς Λακεδαιμονίους. καὶ ἐν τῇ αὐτῇ αὖθις· ὥρμηντο διακινδυνεῦσαι. καὶ πάλιν ἐν τῇ αὐτῇ· ὤσασθαι ἐπειρῶντο· καὶ ἐν τῇ πέμπτῃ· διενοεῖτο ἀνανεώσασθαι. καὶ ἐν τῇ ἕκτῃ· οὔτε γένος ἔχω εἰπεῖν. καὶ ἐν τῇ ὀγδόῃ· καὶ ἐπεκηρυκεύετο αὐ-

τοῖς ἀποστῆναι. καὶ αὖθις ἐν τῇ αὐτῇ· ἐπιστείλαντες ξυναλλαγῆναι πρὸς τοὺς Λακεδαιμονίους. καὶ ἐν τῇ αὐτῇ αὖθις· ἢ Πελοποννησίοις γε κωλύσειν ἐλθεῖν. καὶ πάλιν ἐν τῇ αὐτῇ· ἐψηφίσαντο τὰ πράγματα παραδοῦναι. καὶ Ἀριστείδης ἐν τῷ Ροδίοις περὶ ὁμονοίας· τοῖς δὲ ἀποκνήσασι μέχρι τούτου μνησθῆναι πρὸς ὑμᾶς περὶ τούτων. καὶ Θουκυδίδης ἐν τῇ δευτέρᾳ. καὶ μὴ κατοκνήσειν περιιδεῖν αὐτὴν τμηθεῖσαν.

Ὡσαύτως καὶ τὸ ἐχρῆν, τὸ ἔδει, τὸ εἰκός ἐστὶ, τὸ ἀνάγκη ἐστὶ καὶ τὸ ἔξεστι. Θουκυδίδης ἐν τῇ τετάρτῃ· ἔξεστι καλῶς θέσθαι. καὶ ἐν τῇ πέμπτῃ· οὐκ εἰκὸς εἰς νῆσόν γε αὐτοὺς περαιωθῆναι.

Τὸ δὲ φημὶ ἀεὶ πρὸς μέλλοντα καὶ ἐνεστῶτα. ὁ αὐτὸς ἐν τῇ δευτέρᾳ· καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι. καὶ ἐν τῇ τετάρτῃ· ταῦτα δὲ ἔχων ἔφη ἢ ἄξειν Λακεδαιμονίους ζῶντας ἢ αὐτοῦ ἀποκτενεῖν. καὶ Ἀριστείδης ἐν πέμπτῳ τῶν ἱερῶν· ἀντὶ πάντων ἔφη τιμᾶσθαι χρημάτων αὐτούς. εἰ δὲ περὶ παρῳχημένου πράγματος δεῖ λέγειν, τότε καὶ τὸ ἔφη πρὸς παρῳχημένον τίθεται.

Ὡσαύτως τὸ ὀμνύω καὶ τὸ ὁρκῶ καὶ ἐπὶ μέλλοντος καὶ ἐνεστῶτος. Λουκιανὸς ἐν τοῖς νεκρικοῖς· ἐλεύθερον ἐπωμοσάμην ἀφήσειν αὐτόν. καὶ Θουκυδίδης ἐν τῇ ἕκτῃ· ὁρκώσαντες μηδὲν μνησικακήσειν.

Τὸ δὲ εὔχομαι, εἰ μὲν ἐστιν ἀντὶ τοῦ ὑπισχνοῦμαι, ἀεὶ πρὸς μέλλοντα. Πλάτων ἐν Φαίδωνι· τῷ οὖν Ἀπόλλωνι εὔξαντο, ὡς λέγεται, τότε εἰ σωθεῖεν ἑκάστου ἔτους θεωρίαν ἀπάξειν εἰς Δῆλον. εἰ δὲ ἀντὶ τοῦ παρακαλῶ, πρὸς παρῳχημένον. Πλά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

των ἐν τῷ Ἀξίοχος ἢ περὶ θανάτου· εὐξάμενοι τὸ κράτιστον αὐτοῖς γενέσθαι. καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου· πρῶτον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν.

Τὸ δὲ προσδοκῶ καὶ τὸ ἐλπίζω ἁπλᾶ μὲν οὕτω τιθέμενα μέλλοντι συντάσσονται καὶ ἐνεστῶτι. εἰ δὲ διαλελυμένως, οἷον ἐλπίδα ἔχω καὶ προσδοκίαν ἔχω, καὶ πρὸς παρῳχημένον καὶ πρὸς μέλλοντα. Ἀριστείδης ἐν Λευκτρικῷ τρίτῳ· προσδοκίαν τινὰ ἕξουσι δι' ἡμῶν πάλιν σωθήσεσθαι. Θουκυδίδης ἐν τῇ τετάρτῃ· ἐν ἐλπίδι εἶναι ἀναλαβεῖν Νίσαιαν. καὶ ἐν τῇ πέμπτῃ· ἐλπὶς γὰρ μάλιστα αὐτοὺς οὕτω φοβηθῆναι. καὶ αὖθις ἐν τῇ αὐτῇ· ἔτι καὶ στῆναι ἐλπὶς ὀρθῶς. καὶ ἐν τῇ ἕκτῃ· οὐκ ἀνέλπιστον τὸ τοιοῦτον ξυμβῆναι.

Καὶ τὸ φοβοῦμαι δὲ μέλλοντι συντάσσεται. ὁ αὐτὸς ἐν τῇ πέμπτῃ· οὐ φοβούμεθα ἐλασσώσεσθαι.

Τὸ δὲ δοκῶ καὶ τὸ νομίζω καὶ τὸ οἴομαι καὶ τοῖς τρισὶ χρόνοις συντάσσονται. ὁ αὐτὸς ἐν τῇ ἑβδόμῃ· ἔδοξε τῷ Δημοσθένει πρότερον ἀποπειρᾶσαι. καὶ αὖθις ἐν τῇ τετάρτῃ· αὐτοὶ κυριώτεροι νομίζοντες εἶναι δοῦναι. καὶ Ἀριστείδης ἐν τῷ περὶ ὁμονοίας ταῖς πόλεσιν· ἐάσειν μοι δοκῶ.

## Γ

Γάμους ποιεῖν Ἀττικοὶ λέγουσιν, οὐχὶ γάμον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Αἱ γραῦς, οὐχ αἱ γρᾶες, οὐδὲ αἱ γραῖαι· ποιητικὸν γάρ. (γραΐδια δέ.)*

*Γῆμαι, οὐ γαμῆσαι. Λιβάνιος ἐν μελέτῃ τῇ περὶ τῆς λάλου· ἔδει μέν, ὦ βουλή, τεθνάναι με πρὶν ἢ γῆμαι.*

*Γαστρίδουλος μὴ εἴπῃς, ἀλλὰ γαστρὸς δοῦλος ἢ γαστρὶ δουλεύων ἢ γαστρὸς ἥττων.*

*Γνωσιμαχῶ τὸ διά τι προγεγονὸς ἐμαυτῷ μάχομαι, ὅπως τοῦτο εἰργασάμην. λέγε οὖν γνωσιμαχῶ καὶ μὴ ἐμαυτῷ κατὰ νοῦν μάχομαι.*

*Γαργαλισμὸς μὴ εἴπῃς, γάργαλος δέ. Λουκιανὸς ἐν τῷ Μίκυλλος ἢ ἀλεκτριών· τοιοῦτον γάργαλον παρείχετό μοι τὰ ὁρώμενα. γαργαλίζω μέντοι Ἀριστείδης ἐν τῷ κατὰ ἐξορχουμένων· καὶ τὰ ὦτα γαργαλίζουσι.*

*Γιγνόμενον οὐ μόνον τὸ ἐνεργούμενον, ἀλλὰ καὶ τὸ ἀνῆκόν τινι καὶ ἁρμόζον, οἱονεὶ τὸ πρὸς αὐτὸν ἐρχόμενον καὶ αὐτῷ συμβαῖνον. (Ἀριστείδης· καὶ τιμᾶν τοῖς γιγνομένοις τὴν πόλιν. καὶ) Λιβάνιος ἐν τῇ Δικάζεται Ποσειδῶν Ἄρει ὑπὲρ Ἁλιρροθίου μελέτῃ· θεῖος γὰρ οὗτος καὶ τιμῶ τὰ γιγνόμενα, ἤγουν ὅσον ἀνήκει καὶ ἐπιβάλλει τῷ θείῳ. καὶ ἡ γιγνομένη τινὶ εὐφημία, ἤγουν ἡ πρέπουσα καὶ ἐπιβάλλουσα.*

*Γεγυμνασμένος ῥητορικῆς καὶ ῥητόρων δοκιμώτερον ἂν εἴποις ἢ μέτοχος. Φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν· γεγύμναστο δὲ ἱκανῶς τῆς ἀττικιζούσης λέξεως. καὶ πάλιν· ἄνδρα γεγυμνασμένον τῆς τοιᾶσδε ἰδέας. εἰδέναι δὲ χρή, ὅτι τὸ ἕνεκα λαμβάνεται ἔξωθεν, ὡς εἶναι τὸ ἐντελὲς τῆς*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐννοίας, ὅτι ὅσον εἰς τοῦτο γεγυμνασμένος ἦν.

Γυναικὸς ἀδελφός, οὐ γυναικάδελφος· κοινὸν γάρ.

Γαστρίζειν καὶ ἐπὶ τοῦ τὴν γαστέρα τύπτειν οἱ ὕστερον· οἱ δὲ ἀρχαῖοι ἐπὶ τοῦ τὴν γαστέρα ἐμπίπλασθαι.

Οὐ μόνον ἄγεται γυναῖκα, ἀλλὰ καὶ γαμεῖ.

Γρυλίζειν Ἀττικοὶ δι' ἑνὸς λ.

Γογγύλη οἱ μὲν παλαιοὶ ἐπὶ τοῦ στρογγύλου τιθέασιν· οἱ δὲ νῦν ἐπὶ τοῦ λαχάνου, ὅπερ γογγυλίς οὐ γογγύλη γράφεται.

Γεννήματα ἐπὶ καρπῶν τινες τιθέασιν, ἀδοκίμως. σὺ δὲ καρποὺς λέγε.

Γράψαι καὶ λέγειν Ὅμηρος λέγει, γράμμα δὲ καὶ λόγον οὐχί.

Γραφεὺς κάλλιον ἢ ζωγράφος. Εὐριπίδης ἐν Ἑκάβῃ·

ὡς γραφεύς τ' ἀποσταθείς.

Γράφομαί σε τοῦ δεῖνος, οὐ γράφω, εἰ καὶ Συνέσιος ἐνεργητικῶς τε ἅμα καὶ οὕτως ἁπλῶς προήγαγεν ἐν (τῇ) ἐπιστολῇ τῇ Σὺ γὰρ δὴ καὶ φιλόσοφος εἶ καὶ φιλάνθρωπος λέγων· ἐφ' ᾧ Γεννάδιον ἔγραψε, καὶ Λουκιανὸς ἅπαξ ἐν τῷ δὶς κατηγορούμενος· γράψαι μὲν αὐτὴν μοιχείας οὐκ ἐδοκίμαζον.

Ἔγημεν ὁ ἀνὴρ λέγε, ἐγήματο δὲ ἡ γυνή.

Γενέθλια δόκιμον, οὐ γενέσια· καὶ γενεθλιακὸς λόγος, οὐ γενεσιακός.

Γεννηθεὶς ἀντὶ τοῦ γενόμενος οὐδεὶς τῶν δοκίμων· ἐγεγόνειν γὰρ καὶ ἐγενόμην ῥήτορες λέγουσιν. ἐγενήθην δὲ καὶ τοὺς καθ' ἑξῆς ἅπαντας χρό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νους παρ' οὐδενὶ τούτων εὑρήσεις. εἰ μὴ 'Αριστείδης ἅπαξ ἐν τῷ πρὸς βασιλέα εἶπε λόγῳ, ὅπερ μοι δοκεῖ ἁμάρτημα εἶναι τῶν γραφέων. λέγει δὲ οὕτω· πολλοῖς δὲ ἀνηκέστων συμφορῶν αἴτιοι γενηθέντες.

Γελοῖος ὁ καταγέλαστος, γέλοιος δὲ ὁ γελωτοποιός· γελοῖον δὲ οὐδετέρως μόνον τὸ γέλωτος ἄξιον. Δημοσθένης ἐν δευτέρῳ τῶν 'Ολυνθιακῶν· μίμους γελοίων καὶ ποιητὰς αἰσχρῶν ᾀσμάτων.

Γοργώ, Γοργοῦς 'Αττικοί, ὡς Σαπφώ, Σαπφοῦς· Γοργὼν δέ, Γοργόνος, ἁπλῶς Ἕλληνες. Εὐριπίδης ἐν 'Ορέστῃ.

τὸ Γοργοῦς δ' οὐ κάτοιδ' ἐγὼ κάρα.

Λουκιανὸς ἐν τῷ περὶ εἰκόνων· ἀλλ' ἦ τοιοῦτό τι ἔπαθον οἱ τὴν Γοργὼ ἰδόντες. Λιβάνιος ἐν τῇ μελέτῃ τοῦ τρισαριστέως· ὥσπερ τινὰ Γοργὼ τὴν ἐμὴν ὁρῶντες ἀσπίδα.

Γάνος ἡ χάρις. 'Αριστείδης ἐν τῇ μονῳδίᾳ τῆς Σμύρνης· τὸ ὑπὲρ πάσης τῆς πόλεως ἑστηκὸς γάνος. καὶ γανοῦμαι τὸ ἡδονῆς καὶ χάριτος πληροῦμαι, ὡς ὁ αὐτός· τίς οὐχὶ καὶ ἐν ταῖς τριόδοις ἰδὼν ἐγανώθη, καὶ γεγανωμένα πρόσωπα τὰ χάριτος γέμοντα.

Γαμβρὸς ποιητικώτερον· κηδεστὴς δὲ παρὰ τοῖς ῥήτορσι.

Γείτων εἰμὶ τοῦ δεῖνος καὶ γείτων εἰμὶ τῷ δεῖνι, τῆς μὲν γενικῆς πρὸς τὸ γείτων, τῆς δὲ δοτικῆς πρὸς τὸ ὑπαρκτικὸν ῥῆμα εἴτε ὂν εἴτε νοούμενον. μάρτυς ἀμφοτέρων Αἰσχύλος λέγων ἐν τῷ ἑπτὰ ἐπὶ Θήβαις.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γείτονας πύλας ἔχων
Ὄγκας Ἀθάνας.

καὶ πάλιν ἐν τῷ αὐτῷ δράματι·

ἤτ' ἀγχίπολις
πύλαισι γείτων.

Τὸ γοῦν καὶ ἀντὶ τοῦ οὖν καὶ ἀντὶ τοῦ τἄν καὶ ἀντὶ τοῦ γάρ· ὡς ὁ Ἀριστοφάνης ἐν Πλούτῳ.

κρατοῦσι γοῦν κἂν τοῖς πολεμίοις ἑκάστοτε.

καὶ ἀργὸν δέ, χάριν κόσμου τοῦτο τιθέασιν οἱ ποιηταί. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

τὰ γοῦν σά.

Ὡσαύτως καὶ τὸ γέ οὐ μόνον ἀργὸν εὑρίσκεται, ἀλλὰ καὶ ἀντὶ τοῦ γάρ. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἔγωγέ τοι διὰ μικρὸν ἀργυρίδιον
δοῦλος γεγένημαι.

Λιβάνιος ἐν ἐπιστολῇ· τοῖς μέν γε κάλλος οὐκ ἔπεστι. καὶ Ἀριστείδης ἐν τῷ ὑπὲρ ῥητορικῆς πρώτῳ· βαδίζουσι γε εἰς Δελφοὺς καὶ πυνθάνονται περὶ τῶν πολιτειῶν.

Γαλῆ Ἀττικόν, οὐ γαλέα.

Γηρᾶναι καὶ καταγηρᾶναι ἀρχαιότερον· οἱ δ' ὕστερον γηρᾶσαι καὶ καταγηρᾶσαι.

Τὰ παρὰ τὸ γῆρας καὶ κρέας καὶ κέρας γινόμενα ὀνόματα διὰ τοῦ **ω** μεγάλου γραφόμεα, τὰ μὲν παρὰ τὸ γῆρας καὶ κρέας κατὰ ἀποβολὴν τοῦ **σ** κλίνεται, οἷον εὔγηρως, εὔγηρω, καλόγηρως, καλόγηρω· τὰ δὲ παρὰ τὸ κέρας οἱ μὲν κοινοὶ διὰ τοῦ **τος** κλίνουσι· μονόκερως μονοκέρωτος, αἰγόκερως, αἰγοκέρωτος· οἱ δὲ Ἀττικοὶ κατὰ ἀποβο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λὴν τοῦ σ καὶ ταῦτα, χρυσόκερως, χρυσόκερω. Ἀριστείδης ἐν τῷ εἰς Ῥώμῃ· ποιητὴς μὲν οὖν ἤδη τις εἶπε σκώψας εὔξασθαι κατὰ χρυσόκερω λιβανωτοῦ.

Γεννᾷ ἀνὴρ παῖδα, καὶ γεννᾷ ὁ Πλάτων τὸν οὐρανὸν ἀντὶ τοῦ γεννητὸν λέγει.

Τὸ γελάσω καὶ ὅσα δευτ-ρας συζυγίας τῶν περισπομένων ὄντα πρὸ τοῦ α σύμφωνον ἔχουσι πλὴν τοῦ ρ, βραχὺ τὸ α ἔχουσιν. ὅσα δὲ πρὸ τοῦ α φωνῆεν ἢ τὸ ρ, μακρὸν ἔχει τὸ α, οἷον ἐῶ, ἐάσω, ἐᾶσαι· περῶ, περάσω, περᾶσαι.

Γαμεῖ τις ἀμεταβάτως ἀντὶ τοῦ γάμον ἔχει, τουτέστι συνημμένος ἐστὶ γυναικί. καὶ γαμεῖ τήνδε μεταβατικῶς ἀντὶ τοῦ εἰς γάμον λαμβάνει ἢ λαβὼν ἔχει.

Γέγονα ἔτη τοσαῦτα κάλλιον ἢ γέγονα ἐτῶν. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ· ἔτη γεγονὼς πλείω ἑβδομήκοντα. καὶ Ἡρόδοτος ἐν τῇ τρίτῃ· ταῦτα εἰπεῖν αὐτὸν ἔτεα ὡς δέκα γεγονότα.

## Δ.

Διαθήκας γράφειν τις λέγεται, οὐ διαθήκην.

Καὶ διακονοῦμαι καὶ διακονῶ· Λουκιανὸς ἐν τῷ φιλοψευδὴς ἢ ἀπιστῶν· δεξιῶς ὑπηρέτει καὶ διηκονεῖτο ἡμῖν.

Δικροῦν, οὐ δίκρουν· ἀπὸ τοῦ δικρόον γάρ.

Δεσμὰ κάλλιον ἢ δεσμοί. ἐπὶ δὲ τῶν ἑνικῶν τὰ τοῦ ἀρσενικοῦ μόνα ἐν χρήσει· ὁ δεσμὸς γὰρ καὶ τοῦ δεσμοῦ καὶ ὅσα μέχρι τῶν πληθυντικῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Δεδεμένος κάλλιον ἢ δεθείς, καὶ δέων ἢ δεσμῶν. Δημοσθένης· δέων, ἀπάγων, βοῶν.

Διηλλάγη δοκιμώτερον ἢ κατηλλάγη. καὶ διαλλαγαὶ πληθυντικῶς, οὐ διαλλαγή· τὸ δὲ καταλλαγὴ εἰ καὶ εὕρηται, ἀλλ' οὐ δόκιμον· ὡσαύτως καὶ ἐπὶ τοῦ διαλλάττω καὶ καταλλάττω νόει. Θουκυδίδης δὲ καὶ ἐνηλλάγη ἀντὶ τοῦ διηλλάγη λέγει· ὅσοι μὲν Ἀθηναίοις ἤδη ἐνηλλάγησαν. καὶ συνηλλάγη ὡσαύτως ἐν τῇ ὀγδόῃ· ἐπιστείλαντες ξυναλλαγῆναι πρὸς τοὺς Λακεδαιμονίους. καὶ πάλιν ἐν τῇ τρίτῃ· καὶ ὅρκοι εἴ που ἄρα γένοιντο ξυναλλαγῆς· διαλλαχθήσομαι δὲ κάλλιον ἢ διαλλαγήσομαι· ὡς ἐπιτοπολὺ γὰρ οἱ μέλλοντες πρῶτοι προτιμῶνται τῶν δευτέρον μελλόντων,

Διαπαιζει, οὐ καταπαίζει.

Διαφῆκε δοκιμώτερον ἢ ἀφῆκε· καὶ διακούει ἢ ἀκούει· διαλοιδορεῖται καὶ λοιδορεῖται ἢ λοιδορεῖ. συντάσσεται δὲ ἀεὶ τὸ παθητικὸν πρὸς δοτικήν, εἰ καί τινες πρὸς αἰτιατικὴν πλὴν ἀδοκίμως. καὶ διαλυμάνεται καὶ λυμαίνεται.

Δισκοβόλος οὐ δεῖ λέγειν, ἀλλὰ δισκευτής.

Δουλοῦμαι τὸν δεῖνα Ἀττικοί, οὐ δουλῶ. Δημοσθένης· δουλοῦται τὰς πόλεις·

Διαχρῶμαι τὸν δεῖνα καὶ διαχειρίζομαι καὶ διεργάζομαι κρεῖττον ἢ φονεύω. Λιβάνιος ἐν διηγήματι δραματικῷ τῷ Ἥρα τῆς ἑαυτοῦ γυναικὸς ὁ Κανδαύλης· διαχρησάμενος τὸν δεσπότην. καὶ πάλιν ἀλλαχοῦ· διεχειρίσατο ἑαυτόν. Εὐριπίδης ἐν Ἑκάβῃ·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄγ' οὖν Ὀδησσεῦ καὶ διέργασαί μ'
ἄγων.

ὡσαύτως καὶ διαχείρισις· διέργασις μέντοι καὶ διεργασμὸς οὐχ εὕρηται. ἔστι δὲ καὶ διαχείρισις ἡ διοίκησις. Θουκυδίδης· πολέμῳ τε καὶ διαχειρίσει πραγμάτων. καὶ διαχειρίζω τὸ διεξάγω. Ἡρόδοτος δὲ καὶ καταχρῶμαι ἀντὶ τοῦ φονεύω λέγει ἐν τῇ πρώτῃ· αὐτοῦ μιν ἐν τῇσι Θυρέῃσι καταχρήσασθαι ἑωυτόν. καὶ αὖθις ἐν τῇ αὐτῇ· τέῳ δὴ μόρῳ τὸν παῖδα κατεχρήσαο, τόν τοι παρέδωκα. ὁ αὐτὸς δὲ καὶ διαχρῶμαι, πρὸς δοτικὴν λέγει ἀντὶ τοῦ χρῶμαι, ὡς ἐν τῇ αὐτῇ· οὗτοι μὲν τῶν Φωκαιέων τοιούτῳ μόρῳ διεχρήσαντο. καὶ πάλιν ἐν τῇ αὐτῇ. καὶ τῷ ὀνόματι τῷ αὐτῷ αἰεὶ διαχρεωμένους τῷπερ νῦν.

*Διαπεπραγμένον* καὶ τὸ γεγενημένον καὶ τὸ ἠφανισμένον. Αἰσχύλος ἐν τῷ ἑπτὰ ἐπὶ Θήβαις·

διαπεπραγμένου στρατοῦ.

Πλούταρχος ἐν παραλλήλοις περὶ Δημάδου· ὥσπερ ἱερείου διαπεπραγμένου ἡ γλῶσσα καὶ ἡ κοιλία λείπεται. ὅθεν καὶ Συνέσιος ἐν ἐπιστολῇ λαβὼν χρῆται οὕτω πως· ὥσπερ ἱερείου διαπεπραγμένου τοῦ ἔνδον τὸ δέρμα λείπεται γνώρισμα τοῦ πάλαι ζώου.

*Δίκη* ἡ ἰδία, γραφὴ ἡ δημοσία. Πλάτων ἐν τῷ Εὐθύφρων ἢ περὶ ὁσίου· οὔ τοι δὴ Ἀθηναῖοί γε, ὦ Εὐθύφρον, δίκην αὐτὴν καλοῦσιν, ἀλλὰ γραφήν. [εἰσάγει γὰρ πρῶτον τὸν Εὐθύφρονα δίκην τὴν ἰδίαν λέγοντα, εἶτα τὸν Σωκράτην ἐπιδιορθούμενον τὸ ὄνομα διὰ τῶν τοιούτων.]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Διάπειρα κρεῖττον ἢ πεῖρα. Πίνδαρος·
διάπειρά τοι βροτῶν ἔλεγχος.

Διέχει δοκιμώτερον ἢ ἀπέχει, οἷον, δέκα σταδίοις διέχει. καὶ Θουκυδίδης· διεῖχον δὲ πολὺ ἀπ' ἀλλήλων. καὶ διέχω τὸ διΐστῶ Ἡρόδοτος ἐν τῇ ἐνάτῃ· ῥέει κάτω ἐς τὸ πεδίον, διέχων ἀπ' ἀλλήλων τὰ ῥέεθρα.

Διαγράφω, οὐκ ἀπαλείφω.

Δεῖγμα, οὐ δεῖξις· ἀπόδειξις δέ. καὶ δῆγμα διὰ τοῦ η, οὐ δῆξις.

Διελέχθη κάλλιον ἢ διελέξατο

Δύναμαι, δύνασαι· δύνῃ δὲ οὐδεὶς τῶν δοκίμων εἶπεν, εἰ καὶ Συνέσιος ἐν ἐπιστολῇ· σὺ μὲν οὖν καὶ δύνῃ καὶ δύναιο. ἐὰν δύνῃ δέ. Πλάτων ἐν Φαιδωνι· ἀλλὰ πειρῶ ὡς ἂν δύνῃ ἀκριβέστατα διελθεῖν πάντα.

Διχῇ διελὼν, ἢ δίχα.

Διενειμάμην καὶ ἐνειμάμην, οὐ διειλόμην. Ἀριστείδης ἐν τῇ πρὸς τοὺς βασιλέας ἐπιστολῇ· πρὸς δὲ τοὺς στρατιώτας τοὺς χιτῶνας ἐνείματο.

Διέπαυσέ τίς τινα καὶ διεπαύσατο αὐτός, καὶ ἔπαυσε καὶ ἐπαύσατο, καὶ ἀνέπαυσε καὶ ἀνεπαύσατο. Λιβάνιος ἐν μελέτῃ τῇ Διέσωσέ τις ἐμπρησμοῦ γενομένου τὸν ἑαυτοῦ πατέρα μόλις, ὦ ἄνδρες δικασταί, τῶν ἐπὶ τῷ πατρὶ θρήνων [ὀλίγον] ἀναπαυσάμενος. τὸ δὲ μετὰ τῆς κατὰ ἐκφέρειν ταῦτα ἀδόκιμον.

Δικάζω φόνον ὡς Εὐριπίδης ἐν Ὀρέστῃ·
ἐν οὐ καλῷ μὲν ἐμνήσθην θεῶν,
φόνον δικάζων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ δικάζω ἀνθρώποις. δικάζομαι δὲ τῷ δεῖνι φόνου ἀντὶ τοῦ παρὰ δικασταῖς ἐγκαλῶ. ὡς ἔχει τὸ παρὰ Λιβανίῳ ἐν ἐπιγραφῇ μελέτης· καὶ δικάζεται Ποσειδῶν Ἄρει ὑπὲρ Ἁλιρροθίου.

Δάκρυσι λέγε, μὴ δακρύοις· ποιητικὸν γάρ. Λιβάνιος ἐν μελέτῃ τῇ Φιλαργύρου παῖς ἀριστεύσας· τοῖς τῶν δανειζομένων δάκρυσι μηδὲν ἐνδιδόναι.

Δεδίττομαι τὸν δεῖνα, ἤγουν ἐκφοβῶ, καὶ παρὰ ποιηταῖς καὶ παρὰ λογογράφοις· ἀντὶ δὲ τοῦ ἐκφοβοῦμαι παρὰ ποιηταῖς μόνοις. Ὅμοιρος ἐν β'. Ἰλιάδος.

οὐ σ' ἔοικε κακὸν ὣς δειδίσσεσθαι.

Δευσοποιὸς καὶ ὁ βαφεὺς καὶ ἡ εἰς βάθος βεβαμμένη βαφή. λέγε οὖν δευσοποιὸς βαφή, μὴ ἀναπόνιπτος, εἰ καὶ Συνέσιος ἐν ἐπιστολῇ τῇ Ὥσπερ ἄλλοτε πολλάκις χρῆται καὶ ἀμφοτέροις λέγων· ὅταν ἁμάρτῃ δευσοποιά τε καὶ ἀναπόνιπτα.

Δικαστήριον καὶ ὁ τόπος ἐν ᾧ αἱ δίκαι τελοῦνται, καὶ αὐτοὶ οἱ δικάζοντες καὶ ὁ τῆς πόλεως ἄρχων ἀπὸ τοῦ τὰς ἐν αὐτῇ δίκας διοικεῖν οὕτω καλούμενοι. Συνέσιος περὶ Μαρκελλίνου τοῦ ἄρχοντος τὸν λόγον ποιούμενος οὕτω λεγει· παρεῖναι μὲν οὖν ἡμῖν καὶ τὸ δικαστήριον ἐβουλόμεθα· ἐπεὶ δὲ τυγχάνει ὢν ὑπερόριος.

Δεκέτες παιδίον κάλλιον εἰπεῖν ἢ δεκάετες, καὶ δεκέτης πόλεμος ἢ δεκαέτης. Λιβάνιος ἐν τῷ ὑπὲρ τῆς Ἀντιοχέων ὀργῆς· οὔτ' αὐτὸς οὗτος ὁ δεκέτης πόλεμος, δεκαετὲς μέντοι διάστημα χρόνου, οὐ δεκετές, καὶ δεκαετὴς χρόνος, οὐ δεκετής. ὡσαύτως δὲ καὶ πεντάετες καὶ ἑξάετες. Ἀριστείδης ἐν δευτέρῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν ἱερῶν οὐ γὰρ πεντάετες, οὐχ ἑξάετες ἀρκεῖ.

Δεδήσομαι, οὐ δεθήσομαι. ἀπορήσειε δ' ἄν τις, πῶς ἀπὸ τοῦ δέδεμαι, δέδεσαι, τὸ δεδήσομαι γινόμενον οὐ δεδέσομαι γράφεται. φαμὲν οὖν, ὅτι τοῦ δέω, δῶ τὸ δεσμῶ οἱ μέλλοντες διὰ τοῦ η ἐκφέρονται· δήσω γὰρ καὶ δήσομαι, διὰ τοῦτο καὶ δεδήσομαι· οἱ δὲ ἄλλοι χρόνοι διὰ τοῦ ε, 'δέδεκα, δέδεμαι, ἐδέθην καὶ οἱ ἐξ αὐτοῦ, πλὴν τοῦ ἐνεργητικοῦ ἀορίστου τοῦ ἔδησα καὶ τῶν ἐξ αὐτοῦ. τοῦτο δὲ γίνεται διὰ τὸ τὴν πρώτην συζυγίαν (τῶν περισπωμένων) ἐπὶ τοῦ μέλλοντος ἔχειν ἢ τὸ η ἢ τὸ ε, ποτὲ δὲ καὶ ἀμφότερα. Ἀριστείδης ἐν Διονύσῳ· οὐδὲν ἄρα οὕτως βεβαίως δεδήσεται. καὶ Συνέσιος ἐν ἐπιστολῇ· ἂν ἐκεῖνοι σωφρονῶσι, δεδήσεται.

Τὸ δυσωποῦμαι παρὰ μὲν τοῖς ἀρχαίοις ἀντὶ τοῦ ὑφορῶμαι καὶ ὑποπτεύω τίθεται, καθὰ καὶ Πλάτων ἐν Φαίδρῳ χρῆται. (Δημοσθένης ἐν τῷ κατὰ Φιλίππου τρίτῳ· ἤ γὰρ ἐπίτηδες, ἢ δι' ἄγνοιαν εἰς χαλεπὸν πρᾶγμα ὑπάγουσι τὴν πόλιν ἀλλὰ δυσωποῦμαι ἢ γὰρ ἐξεπίτηδες.) παρὰ δὲ τοῖς ὕστερον ἀντὶ τοῦ ἐντρέπομαι καὶ οὐκ ἀντέχω δι' αἰδῶ, ὅ βούλεται καὶ Πλουτάρχῳ τὸ περὶ δυσωπίας βιβλίον.

Διέφθορεν ἀντὶ τοῦ ἐφθάρη. Λουκιανὸς ἐν τῷ Ἡρακλέους καὶ Ἀσκληπιοῦ διαλόγῳ· ὑπ' ἀμφοῖν διεφθορὼς τὸ σῶμα. καὶ ἀντὶ τοῦ ἔφθειρε· Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

τὰς οὔσας τέ μοι
καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.

ἔστι δὲ καὶ ὁ παρακείμενος ἐν χρήσει. Ἀριστείδης ἐν Περικλεῖ· ἢ πῶς Ἀθηναίους εἴη διεφθαρκώς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Διαιτητὴς λέγε καὶ μὴ αἱρετὸς κριτής.*

*Δένδρεσιν, ὡς Θουκυδίδης καὶ ἕτεροι, οὐ δένδροις, ὡς Ξενοφῶν.*

*Διακεκναισμένος τὸ χρῶμα, ποιηταί. Ἀριστοφάνης ἐν νεφέλαις·*

*οὐ γὰρ ἂν τλαίην ἰδεῖν*
*τοὺς ἱππέας τὸ χρῶμα διακεκναισμένος.*

*διεφθαρμένος λογογράφοι.*

*Καὶ διεβίβων καὶ διεβίβαζον. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ διεβίβαζεν εἰς τὴν Ἀσίαν τὰς πολλὰς καὶ μεγάλας ἀποικίας.*

*Ἰστέον ὅτι ἡ τετάρτη συζυγία τῶν εἰς μι προτιμοτέρα τοῖς Ἀττικοῖς τῆς βαρυτόνου. δείκνυμι γὰρ καὶ ζεύγνυμι λέγουσιν, οὐ δεικνύω οὐδὲ ζευγνύω.*

*Δρεπάνη, οὐ δρέπανον.*

*Δελφίς, οὐ δελφίν, καὶ ὅσα τῆς αὐτῆς εἰσι κλίσεως· πλὴν τοῦ θὶς καὶ θίν· καὶ ἀμφότερα γὰρ ἐν χρήσει· τὸ μὲν γὰρ τὸν σωρόν, τὸ δὲ θὶν τὸν αἰγιαλὸν σημαίνει. ἔστι μέντοι δελφὶς οὐ μόνον τὸ ζῶον, ἀλλὰ καὶ μολίβδινόν τι ὄργανον ναυμαχουσῶν νεῶν, ὅθεν καὶ Θουκυδίδης νῆας δελφινοφόρους.*

*Διῆρες, οὐχ ὑπερῷον. Εὐριπίδης ἐν Φοινίσσαις·*

*ἐς διῆρες ἔσχατον.*

*Δίαιτα, οὐ διαγωγὴ οὐδὲ διατροφή· καὶ ἀμφότερα γὰρ σημαίνει ἡ δίαιτα. καὶ διαιτώμενος δὲ καὶ διάγων, οὐ μὴν καὶ διατρεφόμενος.*

*Διεῖναι ἐλαίῳ ἢ ὄξει ἢ ἄλλῳ τῳ, οὐκ ἀνεῖναι, ὡς ἰατροὶ λέγουσιν. Ἀριστείδης ἐν δευτέρῳ τῶν ἱερῶν· καὶ ἀψίνθιον προσευρὼν προστάξειε πιεῖν ὄξει διειμένον. καὶ διεῖναι ἀντὶ τοῦ ἀφεῖναι· ὁ αὐτὸς ἐν τῷ*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρὸς Θηβαίους περὶ συμμαχίας δευτέρῳ· ἢ συνεμβαλεῖν εἰς τὴν Ἀττικήν, ἢ διεῖναι.

*Δυοῖν*, οὐ δυσίν. ὅσα γὰρ μὴ συνεμφαίνει γένος, οὐδὲ πτῶσιν δέχεται. ὥσπερ τὸ οἱ τρεῖς, τῶν τριῶν, τοῖς τρισίν, ἔχει τὴν κλίσιν· παράκειται γὰρ αὐτοῖς οὐδέτερον τὰ τρία· ὁμοίως καὶ τῷ τέσσαρες τὰ τέσσαρα. καὶ ταῦτα μὲν Φρύνιχος, ἀπαγορεύων καθάπαξ τὸ δυσίν. εὕρηται μέντοι καὶ τοῦτο παρὰ τοῖς ῥήτορσι. Θουκυδίδης· ἐπισιτισάμεναι δυσὶν ἡμέραις. καὶ Ἀριστείδης ἐν τῷ περὶ ῥητορικῆς πρώτῳ· ἀλλ' ἀπέδωκε δυσὶ καὶ τρισὶν ἀντειπεῖν. κρεῖττον μέντοι το δυοῖν. γίνωσκε δὲ καὶ τοῦτο, ὅτι τὸ δύο οὐ μόνον ἐπὶ εὐθείας καὶ αἰτιατικῆς, ἀλλὰ καὶ ἐπὶ γενικῆς καὶ δοτικῆς τίθεται. Θουκυδιδης· διελθόντων δύο ἐτῶν. καὶ Λιβανιος· δύο λιμέσι τοὺς εἰς αὐτὸν καταφεύγοντας ἐδέξατο.

*Διδῴη* καὶ *δῴη* εὐκτικῶς, φησὶ Φρύνιχος, οὐδεὶς τῶν ἀρχαίων εἶπεν, ἀλλὰ διδοίη καὶ δοίη· τὸ μέντοι διδῴη καὶ δῴη ἐπὶ ὑποτακτικοῦ τιθέασι. τεκμηριοῖ δὲ Ὅμηρος, ἐὰν μὲν ὑποτακτικῷ χρῆται, διὰ τοῦ ω ἐκφέρων, οἷον

εἰ δὲ κεν αὐτὸς
δῴη κῦδος ἀρέσθαι.

ἔστι γάρ, εἰ δ' ἂν σοι δῷ αὐτὸς, ἤγουν ὁ Ζεύς. εἰ δὲ εὐκτικῶς, οὕτως.

σοὶ δὲ θεοὶ τόσα δοῖεν, ὅσα φρεσὶ σῇσι
μενοινᾷς.

οὐ καλῶς δὲ ταῦτά φησιν ὁ τοιοῦτος Φρύνιχος. ὥσπερ γὰρ ἀπὸ τοῦ βιούς, βιόντος οὐ βιοίη φαμέν, ἀλλὰ βιῴη Δωρικῷ ἔθει (ἐκεῖνοι γὰρ τὴν οι δίφθογ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γου εἰς ω μέγα τρέπουσιν), οὕτω καὶ ἀπὸ τοῦ δούς, δόντος δοίη καὶ δῴη, ὡς καὶ ἁλούς, ἁλόντος, ἁλοίη καὶ ἁλῴη. Ἡρόδοτος ἐν τῇ ἐνάτῃ· οὔτε γάρ ἄν τοι δῴην θυγατέρα τὴν ἐμήν. ὥστε οὐκ ἔδει λέγειν, ὅτι ὑποτακτικὰ ταῦτά ἐστιν, ἀλλ' ὅτι τὸ διδοίη καὶ δοίη ἐν χρήσει μᾶλλον τοῦ διδῴη καὶ δῴη. καὶ Ἀλέξανδρος γὰρ ὁ σοφιστὴς καὶ Λιβάνιος καὶ ἕτεροι ἐπὶ εὐκτικοῦ τούτοις εὑρίσκονται χρώμενοι.

Διώκω τοὺς πολεμίους, ἤγουν ἀπελαύνω· διώκω τὸν δεῖνα κλοπῆς, ἤτοι κατηγορῶ· διώκω λόγους, ἤτοι ζητῶ. καὶ διώκω τὸ κινῶ ποιητικῶς. Αἰσχύλος ἐν τῷ ἑπτὰ ἐπὶ Θήβαις·

σπουδῇ διώκων πομπίμους χνόας
ποδῶν.

Διάστροφοι φρένες τοῦ μαινομένου, καὶ διάστροφος μορφὴ ἡ ἕτερον εἶδος μετειληφυῖα. Αἰσχύλος ἐν Προμηθεῖ.

εὐθὺς οὖν μορφὴ καὶ φρένες διάστροφοι.

καὶ διάστροφοι ὀφθαλμοὶ οὐ μόνον οἱ παρὰ τὸ πεφυκὸς ἔχοντες, ἀλλὰ καὶ οἱ τοιοῦτοι μὲν μὴ ὄντες, λοξοβλεπτοῦντες δέ. ἀπόστροφοι δὲ οἱ ἀπεστραμμένοι, οὐ μόνον ἐπὶ ὀφθαλμῶν, ἀλλὰ καὶ ἐπὶ ἀνθρώπων. Συνέσιος ἐν ἐπιστολῇ τῇ Αἱ κακοποιοὶ δυνάμεις· αἱ δὲ τιμωροὶ φύσεις εἰσὶν αἱ παντάπασιν ἀπόστροφοι τοῦ θεοῦ.

Δημόκοινος καὶ βασανιστὴς ὁ στεβλῶν καὶ βασανίζων. Πλούταρχος ἐν τῷ περὶ τῶν ὑπὸ τοῦ θείου βραδέως τιμωρουμένων· ἐνίοις γὰρ καὶ κολασταῖς ἑτέρων πονηρῶν οἷον δημοκοίνοις ἀπεχρήσατο τὸ δαιμόνιον. ὡσαύτως καὶ δημόσιος, ὡς παρ' Αἰσχίνῃ· πα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρέσται δὲ ὁ δημόσιος καὶ βασανιεῖ ἐναντίον ὑμῶν. ἔνιοι δὲ βασανιστὴν λέγουσιν τὸν ἐπὶ τῆς βασάνου, ἢ τὸν τὰ πρὸς τὴν βάσανον ἐνεργοῦντα.

Διῶρυξ, διώρυχος, καὶ ἅπασα ἡ κλίσις διὰ τοῦ χ. οὐ διὰ τοῦ γ. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· καὶ διώρυχες εἰς αὐτὰς φέρουσιν. ὡσαύτως καὶ διωρυχή, οὐ διωρυγή ὁ αὐτὸς Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ τῆς περὶ τὸν Ἄθω διωρυχῆς. καὶ ἐν τῷ Σμυρναϊκὸς πολιτικός· διωρυχὴ νυμφῶν ἐκ πηγῶν εἰς θάλατταν.
Δραχμὴ, οὐ δραγμή.
Διφρηλάτης, οὐ διφρελάτης.
Δρόμος καὶ ἐπὶ τοῦ τρέχοντος καὶ ἐπὶ τοῦ προκειμένου τόπου τῷ βουλομένῳ τρέχειν.

Ὥσπερ λέγομεν δοκῶ μοι, οὕτω καὶ μοὶ δοκοῦμεν ἐπὶ πληθυντικοῦ. Πλάτων ἐν Θεαιτήτῳ· καί μοι δοκοῦμεν τῇδε ἂν πῃ τάχιστα εὑρεῖν. καὶ Δημοσθένης (Ὀλυνθιακῷ πρώτῳ·) ἡμεῖς δὲ οὐκ οἶδ' ὅν τινά μοι δοκοῦμεν τρόπον ἔχειν πρὸς αὐτά.

Διαφορὰ πάντες λέγουσι, διαφορότης δὲ Πλάτων μόνος ἐν Θεαιτήτῳ.

Δημούμενος κάλλιον ἢ γελοιάζων· γελοιαστὴς δέ.

Μὴ εἴπῃς σπιθαμὴ, ἀλλὰ δόχμη, ὡς οἱ ἀρχαῖοι

Δρῦν κοινότερον πᾶν ἐκάλουν δένδρον οἱ παλαιοί. οὕτω καὶ ἀκρόδρυα πᾶσαν ὀπώραν. καὶ δρυφάκτους οὐ μόνον τοὺς ἐκ δρυΐνων, ἀλλὰ καὶ τοὺς ἐξ ὁτουδηποτοῦν ξύλου. καὶ δρυπετεῖς ἐλάας ὁμοίως.

Δημότης Ἀττικοὶ ἄνευ τῆς σύν. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἄνδρες φίλοι καὶ δημόται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὡσαύτως καὶ πολίτης καὶ ἡλικιώτης καὶ στασιώτης· συμπότης δέ.

Διφρεία Ἀττικοί, δίφρευσις κοινοί.

Διήγησις ὅλον τὸ σύγγραμα, ἤγουν ἡ Ἰλιὰς ἢ ἡ Ὀδυσσεια, διήγημα δὲ μέρος τι, οἷον ἡ τοῦ Ἕκτορος καὶ Αἴαντος μονομαχία· ὥσπερ καὶ ποίησις καὶ ποίημα. παραχρῶνται δέ τινες.

Διπλοῦν κατὰ μέγεθος, διπλάσιον δὲ ἐπὶ ἀριθμοῦ.

Διαβόητος ὁ ἐπὶ κακίᾳ ἁπλῶς φημιζόμενος. Συνέσιος ἐν ἐπιστολῇ τῇ Ὥσπερ ἄλλοτε πολλάκις· ὁ διαβεβοημένος Σπάταλος. ἐπιβόητος ὁ ἐφ' ἑνί τινι κακῷ. Θουκυδίδης ἐν (τῇ) ἕκτῃ· ὧν γὰρ πέρι ἐπιβόητός εἰμι. περιβόητος δὲ ὁ ἐπὶ ἀρετῇ ἐγνωσμένος. ἰστέον δὲ ὅτι ἁπλᾶ μὲν ταῦτα τιθέμενα οὕτως ὡς ἔφημεν ἔχουσι· μετὰ δὲ προσθήκης ἐνίοτε καὶ ἐναλλάττουσι. Λουκιανὸς ἐν τῷ Μένιππος ἢ νεκυομαντεία· μετὰ πολλῶν καὶ σοφῶν καὶ σφόδρα ἐπὶ συνέσι διαβεβοημένων.

Διορθοῦν κυρίως ἐπὶ δοράτων βολῆς· ἐπανορθοῦν ἐπὶ λογων.

Διδασκαλος λόγων καὶ ἀρετῆς, ἐπιστάτης δὲ ἔργων.

Δοῦλοι οἱ ταῖς ἡδοναῖς κάτοχοι καὶ οἱ ὑποτασσόμενοι βασιλεῦσιν· οἰκέται δὲ δεσποτῶν.

Δαμάλη ὁ ἄρρην μόσχος, δάμαλις δὲ ἡ θήλεια· μόσχος δὲ κοινῶς ἐπ' ἀμφοτέρων.

Δασὺ Ἀττικοί· τὸ δέ δάσος κοινοί.

Διέδρα τις φυλακήν· ἀπέδρα, ὅταν ἀφύλακτος ᾖ.

Διαβόλιμον Θουκυδίδης λέγει τὸ διαβεβλημμένον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ οὐ πάνυ διαβόλιμον ὂν ἀπὸ τῶν Μεγάρων τὴν Σαλαμῖνα παραπλεῖν. σὺ δὲ διαβεβλημένον λέγε.

Δυσπρόσοδος ἀγρός, ὅθεν δυσκόλως προσόδους ἤτοι κέρδη οἱ δεσπόται ἀποφαίρονται. καί δυσπρόσοδος ἄνθρωπος ὁ δύσκολος καὶ δυσέντευκτος. Θουκυδίδης· δυσπρόσοδόν τε αὐτὸν παρεῖχε καὶ τῇ ὀργῇ οὕτω χαλεπῶς ἐχρῆτο εἰς πάντας. καὶ δυσπρόσοδον χωρίον τὸ δύσκολον περὶ τὴν εἴσοδον, ὡς ὁ αὐτός· ἐρυμνόν τε καὶ δυσπρόσοδοι. λέγει δὲ πάλιν καὶ δύσοδος χώρα ἐπὶ τῆς αὐτῆς σημασίας, οἷον· δύσοδος γὰρ ἡ Γεράνεια. κάλλιον δὲ τούτου τὸ δυσπρόσοδος. καὶ πάλιν ἑτέρως· ταύτῃ γὰρ δυσεκβολώτατος ἡ Λοκρίς. καὶ πάλιν· προσιὼν τῷ λόφῳ ὄντι δυσπροσβάτῳ.

Διαγω τὸ διατρίβω, καὶ διάγω τὸ διεξάγω. Φιλόστρατος· διῆγε τὰς βασιλείους φροντίδας. καὶ διάγω σε τούτου ἀντὶ τοῦ ἀφιστῶ, ὡς ο αὐτὸς ἐν (τοῖς) ἡρωικοῖς· μὴ καὶ θρύπτεσθαί με φῇς διάγοντά σε ἀπ' αὐτοῦ. διάγω καὶ τὸ βραδύνω. Θουκυδίδης· διῆγε καὶ προὐφασίζετο. καὶ διάγω τὸ διαβιβάζω. ὁ αὐτὸς ἐν τῇ τετάρτῃ· ἀξιοῦντος διάγειν ἑαυτὸν καὶ τὴν στρατιάν. καὶ διάγω τὸ διαζῶ, ὡς Δημοσθένης ἐν τῷ περὶ τῶν ἐν Χερσονήσῳ· ἀφ' ὧν ἀγείρει καὶ προσαιτεῖ καὶ δανείζεται, ἀπὸ τούτων διάγει.

Δίδωμί σοι δίκας οὐ μόνον ἀντὶ τοῦ κολάζομαι ὑπὸ σοῦ, ἀλλὰ καὶ ἀντὶ τοῦ συνάπτω μετὰ σοῦ κρίσιν περὶ οἵου δή τινος ἀμφιβαλλομένου. Εὐριπίδης ἐν Ὀρέστῃ· ***Θουκυδίδης· δίκας μὲν τῶν διαφορῶν ἀλλήλοις διδόναι καὶ δέχεσθαι, ἤγουν κριτικὰς ἐξετάσεις, ὅθεν κἀκεῖνο παρῆκται· κολάζεται γὰρ ὁ ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῇ τοιαύτῃ κρίσει ἀναφανεὶς ὑπεύθυνος.

*Διαγνώμη* Ἀττικοί, οὐ διάγνωσις λέγουσι. Θουκυδίδης· ἡ δὲ διαγνώμη αὕτη τῆς ἐκκλησίας.

*Δουλεία* οὐ μόνον τὸ αὐτὸ δουλεύειν, ἀλλὰ καὶ τὸ ἄθροισμα τῶν δούλων, ὡς ὁ αὐτός· ἢν δὲ ἡ δουλεία ἐπανιστῆται, ἤγουν ἐὰν οἱ δοῦλοι ἐπανιστῶνται.

*Δρῶ* σε τόδε Ἀττικοί, οὐ δρῶ σοι. Ἀριστοφάνης ἐν Πλούτῳ·

ὁ Ζεύς με ταῦτ' ἔδρασεν ἀνθρώποις φθονῶν.

οὕτω καὶ ἐργάζομαί σε τόδε καὶ ποιῶ σε τόδε.

*Δῖνος* ἡ κύκλῳ στροφή, ἀφ' οὗ καὶ τὸ κύκλῳ στρεφόμενον σῶμα δῖνος, οἷον ὁ οὐρανός. καὶ τὸ κυκλικὸν μέντοι σῶμα, οὐ μὴν (δὲ) καὶ στρεφόμενον κύκλῳ, δῖνος λέγεται διὰ τὸ κυκλοτερῆ ὡσαύτως εἶναι πάντα τὰ στρεφόμενα κύκλῳ.

*Δεσποτεία* καὶ Λιβάνιος ἐν τῷ πρὸς Ἰουλιανὸν ὑπατικῷ· οὐκ ἐμὸν ἐνδυναστεῦσαι παρ' αὐτῷ τὴν δεσποτείαν τῶν ἡδονῶν. αὐθεντία δὲ παρ' οὐδενὶ τῶν δοκίμων ῥητόρων εὕρηται ἐπὶ τοῦ τῆς δεσποτείας ὀνόματος, εἰ καὶ Συνέσιος λέγει· τὸ γὰρ αὐθέντης οἱ παλαιοὶ ἐπὶ τοῦ φονέως τάττουσιν. Ἡρόδοτος ἐν ἐν τῇ πρώτῃ· μήτε θυγατρὶ τῇ σῇ μήτε αὐτῷ σοι εἴην αὐθέντης.

*Δυνάστης* καὶ ὁ τύραννος καὶ ὁ βασιλεύς. ὡσαύτως καὶ δυναστεία οὐ μόνον ἡ τυραννίς, ἀλλὰ καὶ ἡ βασιλεία. Αἰσχίνης· ἐξήλασε Παυσανίαν ἐκ Μακεδονίας καὶ τὴν δυναστείαν ὑμῖν ἔσωσε. τὰ αὐτὰ δὲ καὶ περὶ τοῦ δυναστεύω γίνωσκε. παραδυναστεύω δὲ τὸ τοῖς δυνάσταις παρεδρεύω, ὅπερ καὶ δυναστεύω

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παρὰ τὸ δεῖνι γράφεται. Συνέσιος ἐν ἐπιστολῇ τῇ Τῆτες ἐξήνεγκα δύο βιβλία· πρὸς ἄνδρα παρὰ βασιλεῖ δυναστεύοντα. εὕρηται δὲ τὸ δυνάστης καὶ δυναστεία καὶ ἐπὶ τοῦ ἁπλῶς βιαίου.

Δυοκαίδεκα λέγε· τὸ δὲ δυώδεκα ποιητικώτερον.

Ἰστέον ὅτι οἱ ἀκριβολογουμενοι περὶ τὰ τῶν λέξεων σημαινόμενα τὴν δόξαν ἀπὸ τοῦ κλέους διώρισαν καί φασι τὴν μὲν δόξαν εἶναι τὸν ἀπὸ τῶν πολλῶν ἔπαινον, τὸ δὲ κλέος τὸν ἀπὸ τῶν ἀγαθῶν. ὁμοίως καὶ τὴν τιμὴν διαιροῦσι (τοῦ γέρως,) φάσκοντες τὴν μὲν ἀστείαν τινὰ εἶναι καὶ ἐπί τῶν σπουδαίων πίπτειν, γήρως οὖσαν ἀξίωσιν· τὸ δὲ γέρας ἆθλον ἀρετῆς τίθενται· τὴν δέ τινα παρὰ τῶν τυχόντων τοῖς οὐ πάνυ ἀποδεκτέοις γινομένην ἀντίδοσιν.

Δείλης ἑῴας καὶ δείλης μεσημβρίας καὶ δείλης ὀψίας, Ἀττικοί· τὸ δὲ ἀντί τοῦ δείλης ὀψίας δείλης μόνον λέγειν ἁπλῶς Ἑλληνικόν.

Οὐ μόνον διδάσκομαι παρ' ἄλλου, ἀλλὰ καὶ διδάσκομαι ἕτερον ἀντὶ τοῦ διδάσκω. Λουκιανὸς ἐν τῷ ἐνυπνίῳ· καὶ διδάσκου παραλαβὼν λίθων ἐργάτην ἀγαθὸν εἶναι.

Τὸ δοκὸς καὶ ἐπὶ θυλικοῦ καὶ ἐπὶ ἀρσενικοῦ εὕρηται. Λιβάνιος ἐν τῇ εἰς τὸν νεὼν τοῦ Ἀπόλλωνος μονῳδίᾳ· δοκοὶ δὲ ἐφέροντο κάτω φέρουσαι πῦρ. Λουκιανὸς ἐν τοῖς ἀληθινοῖς· μεγάλοις δοκοῖς τὸ στόμα διερείσαντες.

Καὶ διασώζομαι ὑπὸ σοῦ καὶ διασώζομαί σε. Θουκυδίδης ἐν τῇ τρίτῃ· καὶ κακοπραγίαν ὡς εἰπεῖν ῥᾷον ἀποθοῦνται ἢ εὐδαιμονίαν διασώζονται.

Δεδρασμένον ὡς ἀπὸ τοῦ δέδρακα, δέδρασμαι, ὁ

αὐτός φησιν ἐν τῇ αὐτῇ τῶν εὖ δεδρασμένων ὑπόμνησιν ποιησόμεθα.

Διακωχὴ ἤτοι διάλειμμά τινος πράγματος ἐνεστῶτος. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· ἐγένετο δέ τις ὅμως διακωχή. ἀνακωχὴ δὲ πρόσκαιρος εἰρήνη πολέμου ὁ αὐτὸς ἐν τῇ πρώτῃ· Κερκυραίοις δὲ οὐδὲ δι' ἀνακωχῆς πώποτε ἐγένεσθε.

Δάπανος ἡ δαπάνη καὶ ὁ δαπανηρός. ὁ αὐτὸς αὖθις ἐν τῇ πέμπτῃ· δάπανος γάρ φύσει.

Διαβέβλημαι ὑπὸ σοῦ καὶ διαβέβλημαί σοι καὶ πρὸς σέ, ἤγουν ἀντὶ τοῦ διεβλήθην ὑπὸ σοῦ καὶ ἀντὶ τοῦ διαβλημένως ἔχω πρὸς σέ. ὁ αὐτὸς ἐν τῇ ὀγδόῃ· καὶ πρότερον τῷ Τισσαφέρνει ἀπιστοῦντες πολλῷ δὴ μᾶλλον ἔτι διεβέβληντο. Δημοσθένης· χαριεῖται μεν οὐδετέροις· διαβεβλήσεται δὲ πρὸς ἀμφοτέρους. καὶ Φιλόστρατος ἐν τῷ τοῦ Ἡρώδου βίῳ· διαβέβληται πρὸς τὸν υἱόν, ἀντὶ τοῦ κακὸν αὐτὸν ἡγεῖτο. καὶ διαβόλως ἀντὶ τοῦ κακῶς καὶ ἐπὶ διαβολῇ. Θουκυδίδης ἐν τῇ ἕκτῃ· καὶ ὅτι αὐτοῦ διαβόλως ἐμνήσθη.

Διδόασι (λέγε,) οὐ διδοῦσιν.

Διαλλάτω οὐ μόνον τὸ φιλιῶ, ἀλλὰ καὶ τὸ παραλλάτω. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· πλειόνως ὡς εἰπεῖν διαλλάττει ἢ ἄλλο ἔθνος πρὸς αὐτὴν Αἴγυπτον.

Οὐ μόνον διάκορος ἡ διακορισθεῖσα, ἀλλὰ καὶ ἡ κεκορεσμένη, ἥτις καὶ κατάκορος λέγεται. Ἡρόδοτος ἐν τῇ τρίτῃ· ἐπεὰν δὲ διάκορος ἡ γῆ σφέων γένηται

Διατίθεμαι παθητικῶς τὸ διάκειμαι καὶ τὸ πωλῶ, ὡς παρὰ τῷ θεολόγῳ Γρηγορίῳ· ὅπως ἢ διαθώμεθά

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τι τῶν ὄντων. διατίθημι δὲ ἐνεργητικῶς τὸ καθιστῶ καὶ οἰκονομῶ. Λουκιανὸς ἐν τῷ βίων πράσεις· σὺ μὲν διατίθει τὰ βάθρα. καὶ διαθέτης ὡσαύτως ὁ καθιστῶν καὶ οἰκονομῶν. Ἡρόδοτος ἐν τῇ ἑβδόμῃ· χρησμολόγον καὶ διαθέτην χρησμῶν τῶν Μουσαίου.

Διαπρέπω τούτοις ἀντὶ τοῦ κάλλιστα καὶ πρεπόντως διάγω, ὡς τὸ διέπρεψε τῇ ἀρχῇ. καὶ διαπρέπω τὸν δεῖνα, ἤτοι καλλωπίζω. Πλάτων ἐν Γοργίᾳ· φύσιν ψυχῆς ὧδε γενναίαν μειρακιώδει τινὶ διαπρέπεις μορφώματι.

Διασκοπῶ καὶ διασκοποῦμαι.

## Ε.

Ἐπὶ κόρρης πατάξαι λέγουσιν Ἀττικοὶ τὸ γνάθον πλατείᾳ πλῆξαι χειρί, οὐ ράπισμα δοῦναι. Πλάτων· τί δὲ χείρων ἐγώ, ἂν ὁ δεῖνα ἐπὶ κόρρης (ἀδίκως) πατάξῃ με. καὶ Λιβάνιος ἐν τῇ πρὸς Ὀδυσσέα ἀπολογίᾳ Ἀχιλλέως· κἂν ἐπὶ κορρης πατάξῃ τις, μὴ χαλέπαινε· κἂν αὐτὸς ἀλλαχοῦ ράπισμα λέγῃ ἀδοκίμως.

Ἐδίδαξα αὐτός, ἐδιδαξάμην δι ἑτέρου. Ἀριστοφάνης ἐν νεφέλαις·

ἐδιδαξάμην ἄν σ' ὦ μέλεε τοῖσι δικαίοις
ἀντιλέγειν.

Ἀριστείδης ἐν τῷ Ἀσκληπιάδαι· οὐκ ἐδέξατο τὴν τέχνην τὴν ἰατρικήν, ἀλλ' ἐδίδαξεν αὐτός. εὕρηται μέντοι παρά τισι καὶ ἀντὶ τοῦ ἁπλῶς ἐδίδαξα.

Ἐνίστατο, οὐκ ἠνίστατο.

Ἐκποδὼν τῷ δεῖνι ἐγένετο κρεῖττον ἢ ἐκποδὼν τοῦ δεῖνος. Εὐριπίδης ἐν Ἑκάβῃ·

γεραιᾷ δ' ἐκποδὼν χωρήσομαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἑκάβῃ.

Ἀριστείδης ἐν τῷ πρὸς Ἀχιλλέα πρεσβευτικῷ· ἐξίσου δὲ ἀμφοτέροις ἐκποδὼν ἕστηκας. γίνεται δὲ τοῦτο ἀποδιδομένης τῆς συντάξεως πρὸς τὸ ῥῆμα, οὐ πρὸς τὸ ἐκποδών. τοῦτο γὰρ γενικῇ συντάσσεται.

Ἐξίσης κάλλιον ἢ ἐπίσης.

Ἐνέχυρα Ἀττικοί, ἐνέχυρον Ἕλληνες τὸ δὲ ἐνεχυριμαῖον λέγειν ὡς Ἱπποκλείδης, ἀδόκιμον.

Οὐ μόνον ἀπέσχον τοῦ δεινός φαμεν ἀντὶ τοῦ ἀπέσχοντο, ἀλλὰ καὶ ἔσχον. Θουκυδίδης· Ἑλληνικοῦ μὲν πολέμου ἔσχον οἱ Ἀθηναῖοι, ἑαυτοὺς δῆλον ὅτι. καὶ ἔσχον ἀντὶ τοῦ ἐνελιμένισαν. ὁ αὐτὸς ἐν τῇ δευτέρᾳ· σχόντες δ' ἐν τῷ παράπλῳ ἐς Κεφαλληνίαν· καὶ αὖθις ἐν τῇ ἑβδόμῃ· ἔπλεον ἴσχοντες πρὸς ταῖς πόλεσιν.

Εὔκολος ὁ ἀφελὴς καὶ ἕτοιμος εἰς ὅπερ ἄν τις αὐτῷ χρήσασθαι βούλοιτο. Ἀριστοφάνης ἐν Βατράχοις·

εὔκολος μὲν ἐνθάδε, εὔκολος δ' ἐκεῖ,

καὶ εὔκολον μὲν πρᾶγμα τὸ εὐμεταχείριστον. καὶ εὐκολίαν ἔχει τόδε, ἤγουν ἑτοιμότητα εἰς μεταχείρησιν. ἔστι δὲ καὶ εὐκολία τὸ εὐκόλως φέρειν τὰ συμπίπτοντα δυσχερῆ καὶ μὴ δυσφορεῖν μηδὲ καταπίπτειν ὑπ' ἐκπλήξεως. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ τὴν μὲν τῶν τρόπων εὐκολίαν καὶ σωφροσύνην. δείκνυσι γὰρ διὰ τοῦ ἐπαγαγεῖν σωφροσύνην, ὡς εὐκολίαν λέγει τὴν γενναιότητα.

Ἐλευθερία οὐ μόνον ἡ ἄνεσις, ἀλλὰ καὶ ἡ ἐν ταῖς μεταδόσεσιν ἑτοιμότης καὶ δαψίλεια. ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· ἐλευθερίας ἐφόδιον καὶ μεγαλοψυχίας



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παρεσκευάσθαι τῇ πόλει. λέγεται δὲ τὸ αὐτὸ καὶ ἐλευθ ριότης.

Εὐθύνη ἡ ἐξέτασις, ὡς Δημοσθένης· ἐν ταῖς εὐθύναις τῶν στρατηγῶν· ὅθεν καὶ εὐθύνη ἡ τιμωρία διὰ τὸ τοὺς ἐξεταζομένους κολάζεσθαι ἀναφανέντας κακούς· καὶ εὐθύνω ῥῆμά τὸ εἰς ἐξέτασιν ἄγω καὶ τὸ κολάζω καὶ τὸ κατ' εὐθεῖαν ἄγω. ὅθεν καὶ εὔθυνος παρὰ Λιβανίῳ ἐν τῷ Ἀντιοχικῷ· δικαιοσύνης ἀκριβὴς εὔθυνος ἵδρυται, ἡ τοῦ δικαίου οἱονεὶ ὀρθότης καὶ στάθμη. ἔτι δὲ εὐθύνω καὶ τὸ εὐθὲς ποιῶ, ὃ καὶ ἀπευθύνω λέγεται. καὶ εὐθύνομαι τὸ εἰς ἐξέτασιν ἄγομαι ἢ κολάζομαι. ἀπευθύνομαι δὲ ἀντὶ τούτων οὐκέτι.

Ἐδεδοίκειν, ἐδεδίειν ἐπεφρίκειν, ἐπεπείθειν, παρατατικῶν ταῦτα σημασίαν ἔχουσιν, ἐπειδὴ καὶ οἱ τούτων παρακείμενοι ἀντὶ ἐνεστώτων λαμβάνονται. ὡσαύτως δὲ καὶ ὅσα ἕτερα τοιούτους ἔχει τοὺς παρακειμένους. ὁ δὲ μὴ ἀντὶ παρατατικῶν λαμβάνων ταῦτα, ἀλλὰ ἀντὶ ὑπερσυντελικῶν ἁμαρτάνει.

Ἐπεξελευσόμενος φασί τινες (καὶ ὁ Φαβωρῖνος)· σὺ δὲ ἐπεξιὼν καὶ ἐπέξειμι, ὡς Ἀττικά.

Ἐμποδὼν ὁ δεῖνα τῷ δεῖνι γίνεται ἀντὶ τοῦ εἰς ἐμπόδιον. εἴρηται δὲ ἀπὸ τῶν ἐν ποσὶ κειμένων καθ' ὁδὸν καὶ οὐκ ἐώντων βαδίζειν. εὕρηται δὲ καὶ ἕτερον ἐπίρρημα ἐμποδὼν ἀντὶ τοῦ ἐν ποσίν. Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

> ἃ δ' ἐμποδὼν μάλιστα, ταῦθ' ἥκω φράσων,

ἤγουν ἅτινά εἰσι προκείμενα. καὶ Ἡρόδοτος ἐν τῇ πρώτῃ· κτείνειν πάντα τὸν ἐμποδὼν γινόμενον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐξαμβλῶσαι καὶ ἄμβλωμα καὶ ἀμβλίσκειν καὶ ἀμβλωθρίδιον, οὐκ ἐκτρῶσαι οὐδ' ἔκτρωμα οὐδ' ἐκτιτρώσκειν.

Ἐμβριθεὶς ἐπὶ ἀνθρώπου, οὐ σταθερὸς οὐδ' εὐσταθής· καὶ ἐμβρίθεια καὶ ἐμβριθές, οὐκ εὐστάθεια οὐδ' εὐσταθές. σταθερὸς δὲ ἥλιος καὶ σταθερὰ μεσημβρία. Φιλόστρατος· ἐμβριθὴς δὲ καὶ τὸ ἦθος γενόμενος.

Ἐφόδια τὰ ἐπὶ τῆς ὁδοῦ ἀναλώματα· καὶ ἐπιτήδεια τὰ ἁπλῶς ἀναλώματα. καὶ ἐφόδιον δὲ ἑνικῶς, οὐ μὴν καὶ ἐπιτήδειον. ἔστι δὲ ἐφόδιον καὶ ἡ ὡσανεὶ πάροδος καὶ ἀφορμή. Ἀριστείδης· ἐλευθερίας ἐφόδιον καὶ μεγαλοψυχίας. Λιβάνιος ἐν μελέτῃ τῇ Δικάζεται Ποσειδῶν Ἄρει ὑπὲρ Ἁλιρροθίου· τὸ Ποσειδῶνος εἶναι παῖς ἐφόδιον εἰς τὸ ἀδικεῖν ἔχων.

Ἐπῳδή, οὐκ ἐπαοιδή· καὶ ἐπῳδός, οὐκ ἐπαοιδός.

Τὸ ἔξω καὶ ἐπὶ στάσεως καὶ ἐπὶ κινήσεως, οἷον ἔξω διατρίβει, καί ἐξῆλθεν ἔξω. τὸ δὲ ἐκτὸς ἐπὶ κινήσεως ἀεί. Ἀριστοφάνης ἐν Βατράχοις·

ἐκτὸς οἴσει τῶν ἐλαιῶν.

Σοφοκλῆς.

σὺ δ' ἐκτὸς ἦξας πρὸς τί;

εὕρηται δὲ καὶ ἅπαξ ἐπὶ στάσεως παρὰ Πλάτωνι, οἷον καὶ ὅσα ἐκτός ἐστιν. ἔστι δὲ τὸ ἐκτὸς καὶ ἀντὶ τοῦ χωρίς. Λουκιανὸς ἐν τῷ βίων πράσεις· ἐκτὸς εἰ μὴ κατὰ τὸν Θάμυριν ἐκεῖνον. ὡσαύτως καὶ τὸ ἔξω. Θουκυδίδης· ἔξω τῶν βασιλέων καὶ τῶν μάλιστα ἐν τέλει.

Εἴσω καὶ ἐπὶ κινήσεως καὶ ἐπὶ στάσεως. Ἀριστείδης ἐν τῇ πρὸς τοὺς βασιλέας ἐπιστολῇ· εἴσω παρελ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θόντες, ὅπερ ἐστὶν ἐπὶ κινήσεως. ὁ αὐτὸς ἔν τινι τῶν ἱερῶν· ἔτυχον μὲν (εἰς τὸ) εἴσω τετραμμένος, ὅπερ ἐστὶ καὶ αὐτὸ ἐπὶ κινήσεως, καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ Παναθηναϊκῷ ἐπὶ στάσεως· πᾶσα δὲ εἴσω Γαδείρων τε καὶ ἔξω Γαδείρων θάλασσα. καὶ Δημοσθένης ἐν τῷ ὑπὲρ τοῦ στεφάνου· οὐδεὶς ἂν οὔτε τῶν ἔξω Πυλῶν Ἑλλήνων οὔτε τῶν εἴσω. Λιβάνιος ἐν ἐπιστολῇ τῇ Οἴα τετόλμηται· καὶ ἦν εἴσω θυρῶν. ὥστε οὐ καλῶς λέγει Φρύνιχος ἀπαγορεύων τοῦτο μὴ εἶναι ἐπὶ στάσεως παρὰ τοῖς παλαιοῖς. τὸ δὲ ἐντὸς καὶ ἔνδον ἀεὶ ἐπὶ στάσεως. Θουκυδίδης ἐν (τῇ) πρώτῃ· ἐντὸς αὐτὸν ἀπολαβόντες.

Εὐαγγελίζομαι οἱ πάντες δοτικῇ· ἅπαξ δέ που καὶ αἰτιατικῇ συντασσόμενον εὕρηται, ὡς παρὰ Χαρικλείᾳ καὶ ἐν τῇ θείᾳ γραφῇ. σὺ δὲ δοτικῇ ἀεὶ σύντασσε.

Ἕλξαι κάλλιον ἢ ἑλκύσαι, καὶ ἕλξω ἢ ἑλκύσω. Δημοσθένης ἐν τῷ περὶ τῶν ἐν Χερρονήσῳ· οὐ καθέλξετε τὰς ναῦς.

Εὕρημα, οὐχ εὕρεμα. Εὐριπίδης ἐν Ἑκάβῃ·

πολλῶν λόγων εὑρήμαθ', ὥστε μὴ θανεῖν.

Φιλόστρατος· οἷον οὔπω ἔγνωκα τῶν ἐμαυτοῦ καιρῶν εὕρημα.

Ἐξείλοχεν, οὐκ ἐκλέλοχε.

Καὶ ἔνιπτε καὶ ἔνιζεν.

Οὐδεὶς τῶν δοκίμων ἐξεπιπολῆς εἶπεν, ἀλλὰ πάντες χωρὶς τῆς ἐξ. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· ἐπειδή σοι διὰ βραχέων καὶ ἐπιπολῆς ἀπεκρινάμην.

Θουκυδίδης ἐν τῇ ἕκτῃ· διὰ τὸ ἐπιπολῆς τοῦ ἄλλου εἶναι.

Καὶ ἐπιστολὴ καὶ ἐπιστολαὶ πληθυντικῶς ῥητορικόν· ἐπιστόλιον δὲ μόνοι οἱ σύρφακες.

Ἐπίτηδες καὶ ἐξεπίτηδες.

Ἐξαναχωρῶ καὶ τὸ ἐκφέρομαι καὶ τὸ παραβαίνω. Θουκυδίδης· ἐξανεχώρει τὰ εἰρημένα, ἤτοι παρέβαινεν.

Ἐπίμαχον στράτευμα τὸ ἐπιτήδειον μάχεσθαι· ἐπίμαχον δὲ χωρίον ἐφ ᾧ δύναταί τις μάχην ἐπενεγκεῖν. Θουκυδίδης· ἐκ τῆς γῆς ἥκιστα ἐπίμαχον.

Ἐπέχω τὸ κωλύω, καὶ τὸ ἐπί τινι ἔχω καὶ ἐφίστημι. Λουκιανὸς ἐν τῷ τοῦ Ἀλεξάνδρου βίῳ· ἀλλ ἀεὶ τοῖς μεγίστοις ἐπέχειν τὸν νοῦν. καὶ ἐπίστασις ὄνομα ἐπὶ τοῦ αὐτοῦ.

Καὶ ἐπὰν καὶ ἐπειδὰν εὕρηται δὲ ἐπὶ πλέον τὸ ἐπειδάν. Πλάτων ἐν (τῇ) δευτέρᾳ τῶν πολιτειῶν· ἐπὰν ἀνανεώσωμαι τὸν Θρασυμάχου λόγον.

Εἰ καὶ παρά τισι τῶν ποιητῶν καὶ τῶν ῥητόρων εὕρηται τὸ συντυγχάνω ἀντὶ τοῦ ἐντυχάνω, ἀλλὰ σὺ ἐντυγχάνω λέγε ὡς κρεῖττον. τὸ γὰρ συντυχάνω ἀντὶ τοῦ κατὰ τύχην συμβαίνω κυρίως εὑρίσκεται. Θουκυδίδης· οὕτω που ξυντυχόν.

Καὶ ἐφόρμισις καὶ ἔφορμος, ὡς ὁ αὐτός· τόν τε ἔφορμον οὐκ εἶχον χωρίων ἀλιμένων ὄντων. καὶ ἐφορμῶ ῥῆμα. ὁ αὐτὸς ἐν τῇ ἕκτῃ· καὶ τῷ πεζῷ ἅμα ἐκ γῆς ἐφορμεῖν.

Ἐς νέωτα Ἀττικόν, καὶ ἐσέπειτα· ἐς τοὐπιὸν δὲ κοινόν.

Ἑρμηνέας, βασιλέας, ἱερέας, καὶ ὅσα τοιαῦτα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀττικοί· τὸ δὲ συνῃρημένως ταῦτα λέγειν οὐκ ἔστιν ἐκείνων.

Ἐπίκλητος ὁ προσκληθεὶς παρά τινος. Θουκυδίδης· οἵ τ' ἐπίκλητοι εὐπρεπῶς ἄδικοι ἐλθόντες.

Ἐπιστρέφω ἐγώ, ὡς Πλάτων (ἐν τῷ Ἀξίοχος ἢ περὶ θανάτου·) ἐπιστραφεὶς δὲ Κλεινίαν ὁρῶ τὸν Ἀξιόχου. καὶ ἐπιστρέφω ἕτερον, οἷον τὸ τὰς ἁπάντων ὄψεις εἰς ἑαυτὸν ἐπιστρέψας.

Ἔρρει, ἔπλει, ἔθει καὶ ἔχει, οὐκ ἔχεεν οὐδ' ἔθεεν οὐδ' ἔπλεεν οὐδ' ἔρρεεν οὐδ' ὅσα τοιαῦτα.

Ἐωσάμην καὶ ἀπεωσάμην καὶ διεωσάμην· τὸ δὲ χωρὶς τοῦ ε λέγειν ταῦτα ἀναττικόν.

Ἕως, οὐκ ἠώς· Θουκυδίδης· ἅμα ἕῳ.

Ἐπίθημα, οὐκ ἐπίθεμα.

Ἔφθακα πάντες. Συνέσιος ἐν ἐπιστολῇ· ἐφθάκεις γὰρ ἄρα πυθόμενος. τὸ δὲ πέφθακα βάρβαρον. ὥσπερ γὰρ οὐ πέφθαρκα λέγομεν, ἀλλ' ἔφθαρκα, οὕτω καὶ ἔφθακα, (μὴ δυναμένων ποτὲ δύο δασέων ἀναδιπλασιασμῷ συνελθεῖν.)

Οὐ μόνον ἐνδέχεται ἀντὶ τοῦ ἐνδεχόμενόν ἐστιν, ἀλλὰ καὶ ἀντὶ τοῦ εὐμενῶς δέχεται. Θουκυδίδης· γνόντες νῦν μᾶλλον ἂν ἐνδεξαμένους. καὶ ἀντὶ τοῦ ἁπλῶς δέχεται. ὁ αὐτὸς ἐν τῇ τρίτῃ· λογισμὸν ἥκιστα ἐνδεχόμενα κινδύνου τοῦ ταχίστου προσδεῖται.

Καὶ ἐπιλείπει μοι τόδε καὶ ἐπιλείπει με τόδε. Συνέσιος ἐν ἐπιστολῇ· οὐκ ἐπιλείψουσι τῷ θεῷ στρατιῶται. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· ἡ δὲ τόλμα ἤδη αὐτοὺς ἄρχεται ἐπιλείπειν. καὶ Λιβά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νιος ἐν μελέτῃ τῇ περὶ τῆς λάλου· δέος μὴ τὰ φρύγανα τοὺς ἀρτοποιοὺς ἐπιλίπῃ.

Ἐνθύμιον ἡ ἐνθύμησις, ἐνθυμία δὲ ἡ ὑπόμνησις. Θουκυδιδης· εἰς ἐνθυμίαν τοῖς Λακεδαιμονίοις ἀεὶ προβαλλόμενος ὑπ' αὐτῶν, ὁπότε τι πταίσειαν· τουτέστιν προέτεινον Ἀθηναῖοι τοῖς Λακεδαιμονίοις τοῦτον καὶ ὑπεμίμνησκον, ὅτι δι' αὐτὸν ἔπταισαν.

Ἔρημος χώρα, ἐρήμη δὲ δίκη· ἐρήμη δὲ χώρα παρὰ ποιηταῖς.

Εἰς γειτόνων βαδίζω, ἐν γειτόνων εἰμί. ἀεὶ γὰρ ἡ ἐν πρόθεσις στάσιν δηλοῖ, ἡ δὲ εἰς κίνησιν, οἷον ἔρχομαι, βαδίζω, πορεύομαι, καταφεύγω καὶ ὅσα τοιαῦτα.

Ἔμπνους ἄνθρωπος ὁ ζῶν καὶ πνοὴν ἔχων, καὶ ἔμπνους αὐλὸς ὁ ἐμπνεόμενος καὶ φυσώμενος. ἔστι δὲ τριγενές.

Μὴ εἴπῃς ἑκοντής, ἀλλ' ἐθελοντής, ὡς πάντες οἱ δοκιμώτατοι. ἐπὶ δὲ τοῦ ἐπιρρήματος καὶ ἀμφότερα λέγε· καὶ ἐθελοντὶ γὰρ καὶ ἑκοντὶ ῥητορικά. Ἀριστείδης· ἔπόντα ἐπιγράμματα ἑκοντὶ ἐξεκόλαπτον. καὶ ἐθελοντὴς πρὸς τὸν ἀγῶνα χωρεῖ λέγε, μὴ ἐθελουσίως.

Ἔσται καὶ ἔσεται· ἐσεῖται δὲ ποιητικόν.

Ἐκβάλλει καὶ ἐκδίδωσιν ὁ ποταμὸς εἰς τὴν θάλατταν καὶ ἐξίησιν, οὐκ εἰσβάλλει οὐδὲ εἰσδίδωσιν οὐδὲ εἰσίησιν. ὡσαύτως καὶ ἐκβολή, οὐκ εἰσβολή. Ἀριστείδης ἐν τῷ Σμυρναϊκῷ πολιτικῷ· πρὸς δὲ ταῖς ἐκβολαῖς ἥκιστα βέβρυχε. καὶ Θουκυδίδης· ἡ Βόλβη λίμνη ἐξίησιν εἰς θάλασσαν.

Ἐσβαίνω εἰς τὴν ναῦν καὶ ἐμβαίνω εἰς τὴν ναῦν·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀμφότερα γὰρ Θουκυδίδης λέγει. ἐμβαίνω δὲ νηὶ ἀναττικόν.

Εὐπατρίδης καὶ εὖ γεγονώς· τὸ δὲ εὖ γεγὼς ποιτικόν· ἐκάλουν δὲ εὐπάτριδας τοὺς εὐγενεῖς, ὡς αὐτόχθονας· τοῦτο γὰρ πολλοῦ τινος ἄξιον ἔκριναν.

Ἐλάω, ἐλῶ ἀντὶ τοῦ ἐλαύνω Ἕλληνες λέγουσιν, οἱ δὲ Ἀττικοὶ ἀντὶ τοῦ ἐλάσω. Ἀριστοφάνης ἐν νεφέλαις·

ἀλλ' ἐξελῶ σ' (ἐς κόρακας)ἐκ τῆς οἰκίας.

Ἡρόδοτος ἐν τῇ πρώτῃ· οὐ τὸ ὀπίσω φεύξονται, ἀλλ' ἐπ' ἀρχὰς τὰς σὰς ἐλῶσιν. ἑπόμενος οὖν Ἀττικοῖς μηδὲ ἐλάσω εἴπῃς ἢ ἐξελάσω, ἀλλ' ἀντὶ τούτων ἐλῶ καὶ ἐξελῶ, ὡς εἴρηται· ὥσπερ καὶ ὀλῶ ἀντὶ τοῦ ὀλέσω,ὡς ὁ αὐτὸς Ἀριστοφάνης ἐν Πλούτῳ·

ἀπό σ' ὀλῶ κακὸν κακῶς.

καὶ καλῶ ἀντὶ τοῦ καλέσω,

Ἐξεῖλε τοῦτον αἰτίας κάλλιον λέγειν ἢ ἐξέβαλεν. εἷλε τὴν πόλιν καὶ ἐξεῖλε καὶ ἐξαιρεῖ καὶ ἐπόρθησε καὶ παρεστήσατο μαρτυρία τοῦ ἐξαιρεῖ παρὰ Δημοσθένει· ἀλλὰ καὶ νῦν ἐξαιρεῖ πολλὰ τῶν φρουρίων. καὶ τοῦ ἐξεῖλε παρὰ Θουκυδίδῃ· Σκιωναίους ἐξελεῖν καὶ ἀποκτεῖναι. οὐ μόνον γὰρ ἐπὶ πόλεων λαμβάνεται τὸ ἐξεῖλεν, ἀλλὰ καὶ ἐπὶ ἀνθρώπων. ὡσαύτως καὶ τὸ παρεστήσατο καὶ ἐπὶ γνώμης λαμβάνεται, οἷον παρεστήσατο τοῦδε τὴν γνώμην· τὸ δὲ εἷλεν ἐπὶ πόλεως ἀεὶ καὶ χωρίων· οὕτω γὰρ Θουκυδίδης χρῆται. ἐξεῖλε τῷ δεῖνι γέρας καὶ ἐξῄρει. Θουκυδίδης· Δημοσθένει ἐξῃρέθησαν τριακόσιαι πανοπλίαι. καὶ Ἀριστείδης ἐν τῷ εἰς Δία· τὰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀκροπόλεις ἐξεῖλον Διί. καὶ ἐξαίρω τὸ ὑπερβάλλω. ὁ αὐτὸς ἐν τῷ Ροδίοις περὶ ὁμονοίας· ἐξαίρει πᾶσαν ἀνθρώπων ἄνοιαν.

Ἐπίτιμος καὶ ὁ ἐκτιμώμενος ὑπό τινος, οἷον ἐπίτιμος ἀγρὸς ἢ οὐσία, ὡς Θουκυδίδης· ἐπιτίμους τὰς οὐσίας ἐποίουν· καὶ ἐπίτιμος ὁ ἐπὶ τιμῆς καὶ ἀξιώματος. ὁ αὐτός· μὴ ὄντες ἐπίτιμοι νεωτερίσωσιν. εὕρηται δὲ καὶ ἔντιμος. Ἀριστείδης ἐν τετάρτῳ τῶν ἱερῶν· καὶ μάλ' ἔντιμα καὶ λαμπρά. καὶ ἐπιτιμῶμαι καὶ τὸ μέμφομαι καὶ τὸ δοξάζω καὶ τὸ τιμωρίαν ἐπιτίθημι. Ἡρόδοτος ἐν τῇ τετάρτῃ· ἀνεσκολόπισε τὴν ἀρχαίην δίκην ἐπιτιμῶν. ὡσαύτως καὶ ἐπιτιμῶ καὶ ἐπὶ τῶν τριῶν.

Ἔγωγε καὶ ἐγώ τοι κάλλιον ἢ ἐγώ.

Ἐλάα καὶ ἐπὶ τοῦ καρποῦ καὶ ἐπὶ τοῦ δένδρου κρεῖττον ἢ ἐλαία. Ἀριστοφάνης ἐν βατράχοις·

ἐκτὸς οἴσει τῶν ἐλαῶν.

Θουκυδίδης ἐν τῇ ἑβδόμῃ· κύκλῳ μὲν τειχίον περιῆν, ἐλάας δὲ οὐκ ὀλίγας εἶχε. καὶ Ἀριστείδης· τῶν ἐλαῶν εἵνεκα τῆς συλλογῆς.

Ἔχθιστος, οὐκ ἐχθρότατος.

Ἐνετειλάμην μὴ εἴπῃς, ἐπετειλάμην δέ· καὶ ἐπέστειλα παρὰ Θουκυδίδῃ· κατὰ τάχος ἔπλεον κατὰ τὰ ἐπεσταλμένα ὑπὸ Δημοσθένους. καί, πάντα ἐπιστείλαντες ἀπέπεμψαν. καὶ Δημοσθένης δὲ καὶ οἱ ἄλλοι καὶ ἐπέσκηψα λέγουσι καὶ ἐπέστειλα. καὶ ἐπιτολὴ ἀντὶ τοῦ προσταγή· ὃ δὴ καὶ ἐπιστολὴ παρ' Αἰσχύλῳ διὰ τὸ μέτρον ἐν Προμηθεῖ·

ἐπιστολάς,
ἅς σοι πατὴρ ἐφεῖτο.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπισκῆψαι μὲν γὰρ τὸ αὐτοπροσώπως προστάξαι· ἐπιστεῖλαι δὲ οὐ μόνον τὸ διὰ γραμμάτων, ἀλλὰ καὶ τὸ αὐτοπροσώπως κελεῦσαι. καὶ ἐπιστολὴ ὡσαύτως.

Ἐρρύπηνα καὶ ἐκάθηρα Ἀττικοί, οὐκ ἐρρύπανα οὐδ' ἐκάθαρα.

Ἐπαγωγὸς οὐ μόνον ὁ ἕλκων εἰς εὔνοιαν, ὅπερ καὶ ἀγωγὸς λέγεται, ἀλλὰ καὶ ὁ κομιστής. ἐν δὲ τοῖς θηλυκοῖς ἐπὶ μὲν τοῦ ἕλκειν εἰς εὔνοιαν ἀγωγὸς καὶ ἐπαγωγός, ἐπὶ δὲ τῆς κομιδῆς καὶ φορᾶς ἀγωγὴ (καὶ ἀπαγωγὴ) καὶ ἐπαγωγή. Θουκυδίδης ἐν τῇ τετάρτῃ· οὐδ' οἱ ἔσπλοι ἀσφαλεῖς ἦσαν τῆς ἐπαγωγῆς τῶν ἐπιτηδείων, ἤγουν τοῦ κομίζειν τὰ ἐπιτήδεια.

Ἑκασταχῇ καὶ ἑκασταχοῦ, ἔτι δὲ καὶ ἑκασταχόσε καὶ ἑκασταχόθεν κάλλιον λέγειν ἢ πανταχῇ, πανταχοῦ, πανταχόσε, καὶ πανταχόθεν. τίθεται δὲ τὸ μὲν ἑκασταχόσε ἐπὶ κινήσεως. Ἀριστείδης ἐν τῷ πανηγυρικὸς ἐν Κυζίκῳ περὶ τοῦ ναοῦ· οὓς ἀπέστειλεν ἑκασταχόσε. τὸ δὲ ἑκασταχῇ καὶ ἑκασταχοῦ ἐπὶ στάσεως.

Οὐ μόνον ἄναντες τὸ ἀνωφερές, ἀλλὰ καὶ ἔπαντες. Θουκιδίδης ἐν τῇ ἕκτῃ· ἀπὸ τοῦ λόφου ἐπάντους ὄντος.

Εὐθὺ Ἀθηνῶν Ἀττικοί, οὐκ ἐπ' εὐθείας

Ἔκδημος, οὐκ ἀπόδημος· καὶ ἐκδημῶ δὲ καὶ ἀποδημῶ. Ἀριστοφάνης ἐν βατράχοις·

ποῖ γῆς ἀπεδήμεις;

Ἔποικος καὶ ὁ ἁπλῶς κατοικῶν ἔν τινι πόλει καὶ ὁ ἐξελανθέντος τοῦ πρώην οἰκοῦντος αὐτὸς ἐπελ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θῶν καὶ οἰκήσας· ἢ καὶ ὥσπερ Θουκυδίδης λέγει. ἐποίκους ἔπεμψαν Ἀθηναῖοι.

Εἰσῆχε κάλλιον ἢ εἰσαγήοχεν, ἀπὸ τοῦ εἰσάγω εἰσάξω, εἰσῆχα.

Ἐπίκειμαί τινι ἀντὶ τοῦ βαρέως πρός τινα διάκειμαι· καὶ ἐπίκειμαι ἀντὶ τοῦ πλησίον τινὸς κεῖμαι. Ἀριστείδης ἐν τῷ Σμυρναϊκῷ πολιτικῷ· ἐπικείμενα τοῖς λιμέσι τὰ νεώρια.

Ἐπιμέλομαι κάλλιον ἢ ἐπιμελοῦμαι, καὶ μεταμέλομαι ἢ μεταμελοῦμαι.

Ἕρκος, οὐ περίφραγμα· κοινὸν γάρ.

Εὐπρεπὴς καὶ ἀστεῖος τὴν ὄψιν κάλλιον λέγειν ἢ ὡραῖος· τὸ δὲ εὔμορφος κοινόν. Πλάτων μέντοι ἐν νομοις καὶ Ξενοφῶν εὐμορφίαν λέγουσι· σπανίως δὲ καὶ Ἀριστείδης, ἐν τῷ Αἰγαίῳ· καὶ τῶν ἐν τῇ γῇ πάντων οὗτος ὡραιότατος, ὥστε καὶ σύμβολόν ἐστι τοῦ Αἰγαίου τὸ τῆς εὐμορφίας ἴδιον.

Οὐ λέγουσιν Ἀττικοὶ εἰς τρίτην ἡμέραν, ἀλλ' εἰς τρίτην μόνον. Συνέσιος ἐν ἐπιστολῇ· εἰς τρίτην ἥκειν ἐπήγγελε. καὶ πάλιν ἐν ἑτέρᾳ (τῇ) Τρίτῃ μὲν ἦν Αἰσχίνῃ κειμένῳ· * * * καὶ Ἀριστείδης καὶ ἧκεν εἰς τρίτην.

Ἑτερόφθαλμος ὁ τὸν ἕνα πηρωθεὶς τῶν ὀφθαλμῶν, οὐ μονόφθαλμος. μονόφθαλμος γὰρ ὁ ἕνα ὀφθαλμὸν ἔχων φυσικῶς, οἷον μυθεύονται τὸν Κύκλωπα.

Ἐπίτεξ, οὐκ ἐπίτοκος.

Τὸ ἑκὼν εἶναι οἱ παλαιοὶ μετὰ ἀπαγορεύσεως τιθέασιν, οἷον οὐδεὶς ἑκὼν εἶναι καί, τί τις ἂν ἑκὼν εἶναι ποιήσειε; τὸ γὰρ τὶ ἐνταῦθα ἀπαγόρευσιν δηλοῖ. καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Θουκυδίδης· οὐκ ἐν τῷ κόλπῳ ἑκὼν εἶναι τὴν ναυμαχίαν ποιήσομαι. ἅπαξ δὲ καὶ χωρὶς ἀπαγορεύσεως Ἀριστείδης ἐν τῷ περὶ ὁμονοίας ταῖς πόλεσιν εἶπεν· οἵτινες ἂν τῆς ὁμονοίας ἄρξωσιν ἑκόντες εἶναι. καὶ Ἡρόδοτος ἐν Πολυμνίᾳ· ἑκών τε εἶναι καὶ δεινοῦ ἐπιόντος οὐδενός, ἀλλὰ ἀπὸ δικαιοσύνης ἐς μέσον Κώοισι καταθεὶς τὴν ἀρχὴν οἴχετο ἐς Σικελίην. γράφεται δὲ καὶ ἑκόντες ὄντες. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ἑκόντας ὄντας ταῦτα τιμῆσαι. καὶ Λουκιανὸς ἐν τῷ περὶ τῶν ἐπὶ μισθῷ συνόντων· καὶ ἑκόντες ὄντες ἐπιλανθάνεσθαι ἑαυτῶν.

Ἔγγιον ἐπὶ συγκριτικοῦ μὴ λέγε, ἀλλ' ἐγγύτερον. ἔγγιον δὲ ἀντὶ τοῦ ἐγγὺς ἄριστον. Δημοσθένης· ἔγγιον τόκου. καὶ ἡ παροιμία· γόνυ κνήμης ἔγγιον, ἐπὶ τῶν τοὺς οἰκείους εὐεργετούντων.

Ἐξεκόπη τοὺς ὀφθαλμοὺς λέγων καὶ ἀνεκόπη κάλλιον ἐρεῖς ἢ ἀφῃρέθη. Ἀριστοφάνης ἐν νεφέλαις·

εἴθ' ἐξεκόπην πρότερον τὸν ὀφθαλμὸν
λίθῳ.

Φιλόστρατος ἐν ἡρωϊκοῖς· τὰς ὄψεις ἀνακοπείς. τὸ δὲ ἐτυφλώθη κοινόν.

Ἔπιπλα τάττεται μὲν καὶ ἐπὶ ἱματίων, ὡς ἐπὶ τὸ πλεῖστον δὲ ἐπὶ παντοίων σκευῶν. Θουκυδίδης ἐν τῇ τρίτῃ· ἃ ἦν ἐν τῷ τείχει ἔπιπλα, χαλκὸς καὶ σίδηρος. καὶ Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ· καὶ κατάλογος ἐνταῦθα τῶν ἐπίπλων μέχρι τῆς ληκύθου καὶ τῆς ἐτνηρύσεως.

Ἔδομαι καὶ κατέδομαι, οὐ βρώσομαι, ἀλλ' οὐδὲ φάγομαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Ἐνιαύσιον, οὐκ ἐνιαυσιαῖον. Θουκυδίδης· αἱ δ' ἐνιαύσιοι σπονδαί.*

*Ἐπωάζει, οὐκ ἐπικάθηται ᾠοῖς.*

*Μὴ εἴπῃς ἐριστικῶς ἐρωτᾷ ὁ δεῖνα, ἀλλ' ἐρεσχελεῖ καὶ ἐρεσχελεῖται ὑπό τινος. ἔστι δὲ τὸ ἐρεσχελεῖ καὶ ἀντὶ τοῦ φλυαρεῖ, καὶ ἐρεσχελία ἡ φλυαρία· καὶ ἐρεσχελεῖν τὸ ἀτιμάζειν. Λιβάνιος ἐν τῇ τοῦ φθονεροῦ μελέτῃ· τὴν πενίαν ἐρεσχελῶν τὴν ἐμήν.*

*Εἴθ' ὤφελεν, οὐκ εἴθ' ἔμελλεν. Ἀριστοφάνης ἐν νεφέλαις·*

*εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς.*

*Εὐριπίδης ἐν Μηδείᾳ·*

*εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτᾶσθαι σκάφος.*

*Ἔοικεν ἀντὶ τοῦ φαίνεται ἀπαρεμφάτῳ συντάσσεται, οἷον ἔοικεν ἀπιστεῖν τοῖς λεγομένοις. ἔοικε δὲ ἀντὶ τοῦ ὅμοιός ἐστι δοτικῇ, οἷον ἔοικεν ὁ δεῖνα τῷ δεῖνι. ἔοικε δὲ ἀντὶ τοῦ πρέπει ποιητικῶς ἀσύντακτόν ἐστιν. Ὅμηρος·*

*ἐπεὶ οὐδὲ ἔοικεν.*

*Ἐπίστω κάλλιον, ἢ ἐπίστασο. Σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ·*

*εὖ μέντοι τοῦτ' ἐπίστω.*

*Ἔπιον οἴνου καὶ ἔφαγον σίτου Ἀττικοί, οὐκ οἶνον οὐδὲ σῖτον.*

*Ἐντρίβεται τὸ πρόσωπον, οὐ ψιμυθοῦται. καὶ ἐντρίμματα ἅπας ὁ τοιοῦτος φλήναφος λέγεται.*

*Ἐπιτρίβεται πολλὰς λέγε, μὴ πολλὰς πληγὰς δέχεται. Ἀριστοφάνης ἐν νεφέλαις·*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπετρίβετο πολλὰς ὡς τὰς Μούσας ἀφα-
νίζων.

ἐπὶ δὲ τῶν τὰς πληγὰς ἐπιφερόντων ξαίνει τὸν δεῖνα πολλὰς κατὰ τοῦ νώτου τυχὸν ἢ κατ' ἄλλου τινὸς μέρους τοῦ σώματος· οὕτω γὰρ Δημοσθένης λέγει· καὶ προστρίβεται τῷ δεῖνι πληγάς. Ἀριστοφάνης ἐν ἱππεῦσι·

πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰ-
κέταις.

Ἐπεξενώθη, οὐκ ἐπεξενίσθη.

Εὖ λέγει καὶ κακῶς λέγει κρεῖττω ἢ εὐλογεῖ καὶ κακολογεῖ· ὡσαύτως καὶ εὖ πράττει καὶ κακῶς πράττει ἢ εὐπραγεῖ καὶ κακοπραγεῖ. δυσπραγεῖ δὲ καὶ δυσπραγία καὶ κακοπραγία καὶ εὐπραγία καὶ εὐπραξία. Θουκυδίδης ἐν τῇ τρίτῃ· καὶ κακοπραγίαν ὡς εἰπεῖν ρᾷον ἀπωθοῦνται. καὶ πάλιν εὐλογία καὶ κακολογία.

Ἐφῷ ἀντὶ τοῦ διότι εἰς παρῳχημένον. Συνέσιος ἐν ἐπιστολῇ· ἐφῷ Γεννάδιον ἔγραψεν. ἐφῷ ἀντὶ τοῦ ἐπὶ τῷ εἰς ἀπαρέμφατον, οἷον ἐφῷ μεμνῆσθαι· καὶ ἐφῷ ἀντὶ τοῦ ἵνα εἰς μέλλοντα. Θουκυδίδης· ἐφῷ τοὺς ἄνδρας κομιοῦνται. καὶ Συνέσιος ἐν ἐπιστολῇ· οὐκ ἐφῷ στρατεύσομαι μεμισθωμένος. καὶ πάλιν ἐν ἑτέρᾳ· ἐφῷ θηρίον οὐκ ἐναλεῖται τῇ ποίμνῃ.

Ἑταίρα Ἀττικοὶ καὶ οὐχ ἑταιρίς. ἑταιρῶ δέ, ἑταιρήσω καὶ ἑταίρησις τὸ τοὺς ἄνδρας πάσχειν τὰ τῶν ἑταιρῶν. ἑταιρεῖ μὲν οὖν καὶ πορνεύεται ὁ πασχητιῶν, ἀλλ' ἑταιρεῖ μὲν ὑπὸ τοῦ ἐραστοῦ, πορνεύεται δὲ ὑπὸ τοῦ τυχόντος. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· οὐκέτι δήπου μόνον φαίνεται ἡταιρηκώς,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀλλὰ μὰ τὸν Διόνυσον οὐκ οἶδ' ὅπως δυνήσομαι περιπλέκειν ὅλην τὴν ἡμέραν, καὶ πεπορνευμένος. κυρίως δὲ πορνεύεται ἡ γυνή. Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου· τοῦ μὲν τὸν πατέρα ἡταιρηκέναι, τοῦ δὲ τὴν μητέρα πεπορνεῦσθαι. καὶ πορνεύει ὁ ταύτῃ χρώμενος. Ἡρόδοτος δὲ ἀντὶ τοῦ εἰς πορνείαν ἐκδίδωσι χρῆται τῷ ὀνόματι ἐν τῇ πρώτῃ· ὅτι τὰ θήλεα τέκνα καταπορνεύουσιν.

Ἐβουλόμην καὶ ἐβουλήθην πλειστάκις οἱ δοκιμώτατοι λέγουσιν, ἠβουλόμην δὲ καὶ ἠβουλήθην ἅπαξ, τοῦτο δὲ καὶ ἐπὶ τοῦ ἐδυνάμην καὶ ἐδυνήθην νόει.

Ἔφησθα ῥητορικόν, εἴπησθα δὲ καὶ ἐθέλησθα ποιητικόν.

Ἐννεάζω λέγε, μὴ τὴν νεότητα διαβιβάζω. Συνέσιος ἐν ἐπιστολῇ· ὁ γὰρ ἐννεάσας τῇ κατὰ φιλοσοφίαν σχολῇ.

Ἐπίταγμα κάλλιον ἢ πρόσταγμα, καὶ ἐπιτάττω ἢ προστάττω.

Τὸ εἰ μετὰ ὁριστικοῦ καὶ εὐκτικοῦ ἀεί, καὶ ἐπὶ τῶν τριῶν χρόνων· οὐ μετὰ ὑποτακτικοῦ δέ, πλὴν ἐπὶ τῶν αὐθυποτάκτων, οἷον εἰ λάβωμαι, εἰ τράπωμαι. εἰ δὲ Σοφοκλῆς λέγει ἐν Ἀντιγόνῃ.

κεἴ τις ᾖ σοφός,

ἠνάγκασται διὰ τὸ μέτρον. τὸ δὲ ἐάν, τὸ ἄν τὸ κἄν, τὸ ἤν καὶ τὸ ὅταν ἀεὶ μετὰ ὑποτακτικοῦ παρὰ τοῖς ἀκριβεστάτοις. εἰ γὰρ καὶ εὕρηται ἅπαξ παρὰ Θουκυδίδῃ ἐν τῇ τρίτῃ· ἤν τε καὶ ἔχοντές τι ξυγγνώμης εἶεν, καὶ παρὰ Λουκιανῷ ἐν τοῖς ἀληθινοῖς· ἐὰν καταχθείημεν εἰς τὰς νήσους, καὶ αὖθις ἐν τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βίων πράσεις· καὶ ταῦτα ἢν ἐθελήσειεν ἀποδόσθαι οὑτοσί, ἀλλ' οὐ δεῖ ζηλοῦν τὸ ἅπαξ ῥηθέν. εἰ δὲ τῷ ἂν τὸ εἰ προστεθείη, μετὰ εὐκτικοῦ καὶ ὁριστικοῦ ἐκφέρεται. τὸ δὲ ἵνα καὶ τὸ ὅπως καὶ μετὰ ὑποτακτικοῦ καὶ μετὰ εὐκτικοῦ. Ἀριστείδης ἐν τῷ Ῥοδιακῷ· ἵνα πανταχοῦ τῶν μεγίστων τετυχηκυῖα ἡ πόλις φαίνηται. καὶ αὖθις ἐν τῷ Αἰγαίῳ· ἵν' εἶεν τέλειοι τὴν μουσικήν. καὶ Θουκυδίδης ἐν τῇ δευτέρᾳ· ὅπως μὴ κατὰ φῶς θαρσαλεωτέροις οὖσι προσφέροιντο καὶ σφίσιν ἐκ τοῦ ἴσου γίγνωνται, ἀλλ' ἐν νυκτὶ φοβερώτεροι ὄντες ἥσσους ὦσι τῆς σφετέρας ἐμπειρίας. τὸ δὲ κἂν μετὰ σφοδροῦ τόνου καὶ μετὰ εὐκτικοῦ καὶ μετὰ ὁριστικοῦ παρῳχημένου. Ἀριστοφάνης ἐν νεφέλαις·

κἂν προσκαταθείην γ' ὥστ' ὀμόσαι,
τριώβολον.

Σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ.

κἂν ἐξέπραξεν, εἰ κατημέλησ' ἐγώ·

ταῦτα περὶ τούτων καὶ μὴ ἄλλως φρόνει· ἀκριβῶς γὰρ ἄγαν ἐξήτασται καὶ μεμελέτηται· γίγνωσκε δὲ καὶ τοῦτο, ὅτι οὐδέποτε ὑποτακτικὸς σύνδεσμος μέλλοντι συντάσσεται, οἷον ἂν ἔσται, ἢν γενήσεται καὶ ὅσα τοιαῦτα, κἂν Ἀριστείδης ἅπαξ ἐν τῇ κοινῇ ἀπολογίᾳ πρὸς μέλλοντα τὸ κἂν συνέταξε λέγων· κἂν μηδενὸς ἀνθρώπων μεμνήσονται, καὶ Πλάτων ἐν Γοργίᾳ τὸ ὅταν μετὰ μέλλοντος λέγων· ὅταν βουλήσεσθε παρ' ἐμὲ ἥκειν ὄικαδε. καὶ Θουκυδίδης ἐν τῇ ὀγδόῃ· ἵνα, ἢν μὴ ὑπακούωσι, τεθνήξονται. οὐ μόνον δὲ ἐν τῇ ἀρχῇ τιθέμενος ὁ ἂν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σύνδεσμος οὐ συντάσσεται μέλλοντι, ἀλλ' οὐδὲ ἐν τῷ μέσῳ, οἷον ὅπερ ἂν ἔσται.

Ἑβδόμη οὐ μόνον ἡ μετὰ τὰς ἕξ μονάδας μονάς, ἀλλὰ καὶ ἅπας ὁ ἑπτὰ ἀριθμός. Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

ἑπτὰ δ' ἀγήνορες πρέποντες στρατοῦ
δορυσσόοις σαγαῖς πύλαις ἑβδόμαις
προσίστανται.

ὥσπερ τοὐναντίον καὶ ἡ ἑβδομὰς οὐ μόνον τὰ ἑπτά, ἀλλὰ καὶ αὐτὴ ἡ μετὰ τὰς ἕξ μονάδας μονάς, ὡς ἄλλοι τε πολλοὶ καὶ ὁ ἅγιος Γρηγόριος ὁ θεολόγος λέγων· τὴν ἑβδομάδα τιμῶσιν Ἑβραίων παῖδες, ἤγουν τὴν ἑβδόμην·

Ἐπανορθοῦμαι κάλλιον ἢ ἐπανορθῶ. Πλάτων ἐν τῇ πρώτῃ τῶν πολιτειῶν· καὶ δεῦρο ἰὼν ἐπηνωρθούμην.

Ἐνταῦθα, ἐντεῦθεν, ἐνθάδε, (ἐνθένδε,) δεῦρο, τῇδε καὶ ὧδε, πάντα ταῦτα ἐφ' οὗ εὑρίσκεταί τις τόπου τίθεται· τὸ δὲ αὐτόθι, αὐτόθεν, αὐτοῦ, ἐφ' οὗ εὑρίσκεται ὁ πρὸς ὃν τοὺς λόγους ποιεῖται (ὁ) γράφων. εἰ δέ ποτε τὸ ἐνταῦθα καὶ τὰ ἑξῆς ἐπ' ἄλλου τόπου καὶ οὐκ ἐφ' οὗ ἐστιν ὁ λέγων τίθεται, ἀλλὰ τότε τοῦτο γίνεται, ὅτε ὁ τόπος προδηλωθῇ καὶ τὸ πρόσωπον πρὸς ὃ οἱ λόγοι, οἷον, ἐλθόντες τινὲς πρὸς ὑμᾶς πολλῶν ἀγαθῶν ἐνταῦθα ὤναντο. καὶ Θουκυδίδης· ἕως ἀφίκοντο εἰς Ῥήγιον καὶ ἐνταῦθα ἠθροίζοντο. εὕρηται δὲ ἅπαξ καὶ μὴ προδηλωθέντος τοῦ τόπου, ὡς παρὰ Συνεσίῳ ἐν ἐπιστολῇ· σοὶ μὲν οὖν εὐτυχούσης τῆς ἐνταῦθα παι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δείας πολυανδρίαν σοφίας, ἤγουν τῆς αὐτόθι. οὐ δεῖ δὲ τῷ ἅπαξ εἰρημένῳ χρῆσθαι. ἔστι δὲ τὸ ἐνταῦθα καὶ ἀντὶ τοῦ τότε, ἔτι δὲ καὶ ἀντὶ τοῦ εἰς τοῦτο, οἷον ἐνταῦθα τύχης, ὡς καὶ ἐς δεῦρο τύχης. τὸ δὲ ἐκεῖ, ἐκεῖσε καὶ ἐκεῖθεν οὐ μόνον ἐπὶ ἄλλου τόπου, ἀλλὰ καὶ ἐφ' οὗ ἐστιν ὁ πρὸς ὃν τοὺς λόγους ποιούμεθα, τιθέαμεν. Λιβάνιος ἐν ἐπιστολῇ· τῶν ἐκεῖθεν ἀνιόντων ἕκαστον ἐρωτῶμεν, ὅπως ἔχει σοι το σῶμα, ἤγουν τοὺς αὐτόθεν. καὶ πάλιν ἐν ἑτέρᾳ· ἀλλ' ἐπεὶ τἀκεῖ τεθεράπευκας ἱκανῶς.

Ἔννους ἁπλῶς ὁ ἔχων νοῦν, ὡς πᾶς ἄνθρωπος. κατεχρήσαντο δὲ τῇ λέξει ἐπὶ τοῦ συνετοῦ καὶ φρονίμου.

Ἑκκαίδεκα, οὐχ ἑξκαίδεκα· διότι τὸ διπλοῦν μετὰ συμφώνου τιθέμενον τραχύτητα ποιεῖ τῆς φωνῆς. καὶ δῆλον ἀπὸ τοῦ ἕκτη.

Ἔρρανται οὐ ῥέρανται, διὰ τὸ εὐφωνότερον. ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ τοῦ ἔρρευκε καὶ ἐρρητόρευκε καὶ τῶν ὁμοίων.

Ἐπ' ὄρνισι κάθηται, οὐκ ὀρνεοσκοπεῖ.

Ἐρωτῶ τὸ ἀπόκρισιν ζητῶ τινα. τὸ ἐπερωτῶ δὲ ἐστι μὲν καὶ ἀντὶ τοῦ ἁπλῶς ἐρωτῶ, κυρίως δὲ ὅταν ἐπὶ τῇ ἐρωτήσει ἑτέρᾳ ἐρωτήσει χρῶμαι. προσεπερωτῶ δὲ μετὰ τὴν δευτέραν καὶ τρίτην ποιοῦμαι ἐρώτησιν· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ εἶπον, ἐπεῖπον, προσεπεῖπον.

Ἐξ ἐκείνου, οὐκ ἔκτοτε οὐδ' ἀπότοτε· καὶ ἐκ παλαιοῦ, οὐκ ἔκπαλαι οὐδὲ ἀπόπαλαι οὐδὲ πρόπαλαι. καὶ καθόλου δὲ τοῖς χρονικοῖς ἐπιρρήμασιν οὐ συντάσσουσι τὰς προθέσεις Ἀττικοί.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐδεῖτο, οὐκ ἐδέετο, καὶ ἐπλεῖτο οὐκ ἐπλέετο· Ἰωνικὰ γάρ.

Ἐκλιπών, οὐκ ἐκλείψας· ἀδόκιμον γάρ.

Ἐσχάτως ἔχει ἐπὶ τοῦ μοχθηρῶς οἱ σύρφακες, οἱ δὲ παλαιοὶ ἐπὶ τοῦ ἄκρως τιθέασιν· ἐσχάτως φιλόσοφος.

Ἔζων, οὐκ ἐζῆν, ὡς οἴονταί τινες. Συνέσιος ἐν τῷ Αἰγυπτίῳ ἢ περὶ προνοίας πρώτῳ λόγῳ· αἰσθήσει τε γὰρ ἔζων καὶ νοῦς ἀπῆν· ἔζης δὲ καὶ ἔζη.

Ἐπίδοξος οὐχ ὁ ἔνδοξος, ὥς τινες, ἀλλ᾽ ὁ προσδόκιμος· ἔνδοξος μέντοι γράφεται, καὶ εὔδοξος παρὰ Θουκυδίδῃ· καὶ ἅμα ἐλευθέραν καὶ εὐδοξοτάτην πόλιν διαπαντός.

Τῇ ἐπιούσῃ ἐρεῖς, οὐ προσθεὶς τὸ ἡμέρᾳ· τῆς ἐπιούσης δὲ ἡμέρας.

Εὐθενεῖν κάλλιον ἢ εὐθηνεῖν· εὐθενία δὲ οὐ λέγουσιν, οὐδ᾽ εὐθηνία, ἀλλ᾽ εὐετηρία.

Εἰς τάχος γράφει λέγε καὶ εἰς κάλλος γράφει, μὴ ταχυγράφος ἐστὶ μηδὲ καλλιγράφος.

Ἐδάφων, οὐκ ἐδαφῶν· εἰ καὶ Λιβάνιος ἐν τῷ εἰς Κωνστάντιον καὶ Κώνσταντα· ὥστε τὰς προσοίκους ἐκείνοις πόλεις εὕροις ἂν τῷ μὲν χρόνῳ πρεσβυτάτας, τῇ δὲ τῶν ἐδαφῶν κατασκευῇ νεωτάτας.

Ἔτι, οὐκ ἀκμήν, εἰ καὶ Ξενοφῶν ἅπαξ ἐχρήσατο·

Ἔσχατον χρὴ λέγειν, οὐκ ἐσχατώτατον.

Καὶ ἑρμηνεία καὶ ἀγγελία· ἑρμηνεύω δὲ οὐ μὴν καὶ ἀγγέλλω. Φιλόστρατος (ἐν τοῖς βίοις τῶν σοφιστῶν·) ἡ δὲ ἐπίπαν ἑρμηνεία τοῦ λόγου. καὶ πάλιν· τὸ δὲ κατὰ φύσιν ἑρμηνεύειν· καὶ αὖθις· σε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μυοπρεπὴς τὴν ἀγγελίαν δοκεῖ καὶ βεβηκώς. ἡ δὲ φράσις κοινόν.

Ἐπερισσευσεν, οὐ περιέστευσεν.

Ἐν χρῷ κουρίας φάθι, καὶ μὴ φιλόκουρος. Συνέσιος ἐν τῷ περὶ φαλάκρας (λόγῳ·) καί τις ἐν χρῷ κουρίας ἀποθανών.

Ἔναυλον τὸ ἔνηχον ἀπὸ τοῦ αὐλεῖν, καὶ ἔναυλον τὸ ἔνοικον καὶ ἐφέστιον ἀπὸ τοῦ αὐλή· ὡς τὸ ἔναυλός ἐστι ἢ θυραῖος.

Ἐπίκληρος καὶ ἐπὶ ἀρσενικοῦ καὶ ἐπὶ θηλυκοῦ ὁ ἐπὶ πάσῃ τῇ πατρικῇ περιουσίᾳ κληρονόμος καταλελειμμένος παῖς, μὴ ὄντος αὐτῷ δηλονότι ἀδελφοῦ. καὶ ἐπικληρῖτις δὲ θηλυκῶς μόνον εὕρηται.

Τὸ ἔχω μετὰ ἐπιρρήματος συντεθὲν οὐ μόνον πρὸς γενικήν, ἀλλα καὶ πρὸς αἰτιατικὴν ἔστιν ὅτε συντασσόμενον εὑρίσκεται. ὡς Ἀριστείδης ἐν τῷ Ροδίοις περὶ ὁμονοίας· εἰ μὲν οὕτως εἶχον, ὦ ἄνδρες Ρόδιοι, τὸ σῶμα. Εὐριπίδης ἐν Ὀρέστῃ.

ἅλις τὸ μητρὸς αἷμ' ἔχω.

τοῦτο δὲ γίνεται ἀποδιδομένης τῆς συντάξεως πρὸς τὸ ἔχω. ὅταν μέντοι πρὸς γενικὴν συντάσσηται, τὸ εἵνεκα ἔξωθεν νοοῦμεν, ὥσπερ ἔχει καὶ τὸ φρενῶν εὖ ἥκει. καὶ παρ' Ὁμήρῳ τὸ τόξον εὖ εἰδώς.

Ἐξενεγκεῖν καὶ ἀντί τοῦ ἁπλῶς ἐκβαλεῖν καὶ ἀντὶ τοῦ νεκρὸν ἐξαγαγεῖν, ὥσπερ καὶ τὸ ἐκφέρειν. ἐκφέρουσι μέντοι τὸν νεκρὸν ἐπὶ ἡμέρας καὶ οὐκ ἐπὶ νυκτός, ἵνα πάντες αὐτὸν ἴδωσι, μὴ φαρμάκοις ἢ τοιούτοις τισὶ καὶ οὐ θανάτῳ φυσικῷ τέθνηκεν· ἐξήνεγκε δὲ καὶ ἐξέφερέ τις μέμψιν κατά τινος. ἰστέον δὲ ὅτι τὸ ἐξαγωγὴ καὶ ἐπὶ τῶν τριῶν τούτων

λέγεται· τὸ δὲ ἐκφορὰ ἐπὶ μέμψεως οὐ λέγεται, ἀλλ' ἐπὶ νεκροῦ καὶ ἐπὶ ἁπλῶς ἐκβολῆς.

Ἕδος οὐ μόνον τὸ ἔδαφος,, ἀλλὰ καὶ ἡ εἰκών. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

πατρῷα προσκυνήσανθ' ἕδη θεῶν.

Ἀριστείδης ἔν τινι τῶν ἱερῶν· πρῶτον μὲν ὤφθη τὸ ἕδος τοῦ Ἀσκληπιοῦ, τρεῖς κεφαλὰς ἔχον. καὶ πάλιν· ἐν δὲ τῷ τοίχῳ οὗ τὰ ἕδει τῶν θεῶν·

Ἐκεῖ ἐπίρρημα τοπικόν, ἀναφορικόν. ἀνταποδίδοται δὲ τὸ ἔνθα πρὸς αὐτό, τοῦτο δὲ ἀπαντᾷ πρὸς τὸ ποῦ ἐρωτηματικόν. λέγεται γὰρ πρὸς μὲν τὴν ἐρώτησιν τοῦ ποῦ τὸ ἐκεῖ ἀναφορικόν, τῷ δὲ ἐκεῖ συνάπτεται τὸ ἔνθα· οἷον, ποῦ ἐστιν ὁ δεῖνα; ἐκεῖ ἔνθα ὁ δεῖνα. ἰστέον δὲ ὡς οἱ δοκιμώτατοι τῶν παλαιῶν ἐπὶ στάσεως τιθέασι τὸ ἐκεῖ, οἷον ἐκεῖ τυγχάνω καὶ ἐκεῖ εὑρίσκομαι· τὸ δὲ ἐκεῖσε ἐπὶ κινήσεως, οἷον ἐκεῖσε ἀπέρχομαι· οἱ δὲ ἐναλλὰξ ἀμφότερα γράφοντες ἁμαρτάνουσιν. Ὅμηρον γὰρ καὶ τοὺς ἄλλους δοκίμους τῶν ποιητῶν καὶ Θουκυδίδην καὶ Πλάτωνα καὶ Δημοσθένην καὶ Ἀριστείδην, εἴ τις ἀκριβῶς ἐξετάσει, οὕτως ὡς ἔφημεν εὑρήσει χρωμένους. εἰ δέ τις τὸ τοῦ Εὐριπίδου ἐν Φοινίσσαις προφέρει τό·

λόγοισι χαίρει, τὶν δὲ νοῦν ἐκεῖσ' ἔχει,

καὶ πάλιν τὸ τοῦ αὐτοῦ ἐν τῷ αὐτῷ δράματι τό·

τὸν νοῦν οὐκέτι προς αὐτὸν ἔχων, ἐκεῖσε δέ,

οὐδὲν ταῦτα ἐναντιοῦται τῷ λόγῳ· τὸ γὰρ ἐκεῖσε ἔχει τὸν νοῦν ἀντὶ τοῦ ἄγει καὶ φέρει, ὥστε κἂν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῦθα ἐπὶ κινήσεως τῇ ἐννοίᾳ καὶ τῇ ὁρμῇ τὸ ἐκεῖσ ἐστι.

Καὶ εἰσῄει με τόδε καὶ εἰσῄει μοι. Πλάτων ἐν τ Φαίδων ἢ περὶ ψυχῆς· διὰ δὴ ταῦτα οὐδὲν πάνυ μ ἐλεεινὸν εἰσῄει. καὶ πάλιν ἐν τῷ αὐτῷ· οὔτε ὡς θανάτῳ παρόντα με ἀνδρὸς ἐπιτηδείου ἔλεος εἰσῄει.

Οὐ μόνον εἴργω σε τοῦδε καὶ εἴργω σου τόδε ἀντ ἀντὶ τοῦ κωλύω, ἀλλὰ καὶ εἴργω σοι τόδε οἱονε ἀποσοβῶ σου. Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις

εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ.

Ἕλκος κυρίως χρόνιον πάθος ἐκ σιδήρου γενόμενον, ὠτειλὴ δὲ ἡ ἐκ τοῦ σύνεγγυς ὑπὸ σιδήρου πληγή.

Ἐμβάδες τὰ κωμικὰ ὑποδήματα, ἐμβάδια δὲ τὰ ἁπλῶς ὑποδήματα. Ἀριστοφάνης ἐν Πλούτῳ·

τοῖς δ' ἐμβαδίοις τί χρήσεταί τις;

ἔμβατα δὲ καὶ ἐμβάται τὰ τραγικά.

Ἐμπειρία ἡ ἐπὶ πολλῶν κατάληψις βεβαία, ὡς ἔχει καὶ ὁ τῆς γραμματικῆς ὅρος· ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπιτοπολὺ λεγομένων. πεῖρα δὲ ἡ ἐφ' ἑνὸς ἢ δευτέρου γνῶσις δοκιμαζομένη.

Ἐνθύμημα ποιοῦ λόγου σχῆμα· ἐνθύμιον δὲ ἡ ἐνθύμησις.

Εὔχομαι τῷ θεῷ, ἤγουν εὐχὴν πρὸς αὐτὸν ὑπέρ τινος ποιοῦμαι· καὶ εὔχομαι ἀνθρώπῳ ἀντὶ τοῦ ὑπὲρ αὐτοῦ εὐχὴν πρὸς θεὸν ἀναπέμπω. εὔχομαι καὶ τὸ ὑπισχνοῦμαι. καὶ εὐχὴ ἡ ἐν ἱκετηρίαις ὑπόσχεσις. Ἀριστείδης ἐν τῷ εἰς Ῥώμην· εὐχὰς ποιεῖσθαι καθ' ὧν ἂν ἕκαστος ἐπινοῇ. ὅπερ καὶ εὐχωλὴ παρὰ

ποιηταῖς λέγεται, εὔχομαι δὲ τὸ καυχῶμαι παρὰ μόνοις τοῖς ποιηταῖς.

Ἐπαγγέλλω ὡς ἐπιπολὺ τὸ αἰτῶ. Λιβάνιος ἐν ἐπιστολῇ τῇ Τὸ μὲν τοὺς σοφιστὰς διασύρειν· καὶ ἐπέστελλον καὶ ἐπήγγελλον εὖ παθεῖν· σπανίως δὲ τὸ ὑπισχνοῦμαι. ὁ αὐτὸς ἐν ἑτέρᾳ· συνουσίαν ἐς τὴν ὑστεραίαν ἐπήγγειλε· καὶ τὸ οἱονεὶ παραγγέλλω. Συνέσιος ἐν ἐπιστολῇ· Δηώσταις ἀπαντᾶν ἐπὶ τὴν Κλεοπάτραν ἐπήγγειλα. καὶ πάλιν ἐν ἑτέρᾳ· ἐπαγγείλας ἥκειν ἀκροασαμένοις ἐλλογίμων γραμμάτων. ἐπαγγέλλομαι δὲ ὡς ἐπιτοπολὺ μὲν τὸ ὑπισχνοῦμαι, σπανίως δὲ καὶ τὸ αἰτῶ. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

καλῶς.
ἤδη σ' ἀπορρίψουσαν, ἅ' πηγγειλάμην,

ἤγουν ἃ ᾔτουν. καὶ Ἀρ στείδης ἐν τῇ παλινῳδίᾳ ἐπὶ Σμύρνῃ· καὶ ἐπηγγέλλοντο βουλομένους.

Ἐρῶ καὶ ἔρως κυρίως ἐπὶ τῶν παρόντων, ποθῶ δὲ καὶ πόθος ἐπὶ τῶν ἀπόντων. Λιβάνιος ἐν ἐπιστολῇ· ἄκων δὲ ἐξέλιπον, ἐπόθουν δὲ καὶ οἴκοι καθήμενος. Ἀριστοφάνης ἐν Πλούτῳ·

ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.

καταχρηστικῶς δὲ καὶ ἐναλλὰξ ἀμφότερα.

Ἕτερος ἐπὶ δυοῖν, ἄλλος ἐπὶ πολλῶν.

Εὐφυὴς ὁ εἰς πάντα δεξιός, εὐμαθὴς δὲ ὁ εἰς τὸ μαθεῖν ταχύς. Λουκιανὸς ἐν τῷ δὶς κατηγορούμενος· καὶ ἐπὶ ἐδόκει μοι εὐμαθὴς εἶναι. καὶ εὐμαθὴς ὁ εὔγνωστος· καὶ εὐμαθὲς (ἐπὶ οὐδετέρου).

Εὐηδὴς ὁ τὸ εἶδος παντὸς τοῦ σώματος κάλλιστα διακείμενος, καλὸς δὲ ὁ τὴν ὄψιν ἀστεῖος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐχθρὸς κυρίως ὁ πρώην φίλος καὶ ὕστερον κ
ταστὰς εἰς ἔχθος, πολέμιος δὲ ἁπλῶς ὁ μεθ' ὅπλ
χωρῶν· δυσμενὴς δὲ ὁ χρόνιον πρὸς τὸν ποτε φ
λον τὸ μῖσος διατηρῶν.

Ἑστάω Ἀττικοί, οὐχ ἑστακέτω. Σοφοκλῆς ἐν Α
αντι μαστιγοφόρῳ·

ἀλλ' ἑστάτω μοι καὶ δέος τι καίριον.

Τὰ πρὸς πεῖσιν ἢ δρᾶσιν αἰτιατικῇ συντάσσετε
ἔπαθον τὴν ψυχήν, συνέτριψα τὴν λήκυθον.

Οἱ Ἀττικοὶ καὶ ἐγείρομαι καὶ ἔγρομαι λέγουσ
καὶ ἠγειρόμην καὶ ἠγρόμην, καὶ ἐγειρόμενος, κα
ἐγρόμενος. Ἀριστοφάνης ἐν βατράχοις·

κᾆτ' ἔγωγ' ἐξηγρόμην.

καὶ Λουκιανὸς ἐν τῷ Μίκυλλος ἢ ἀλεκτρυών· 
ὄναρ πλουτῶν λιμώττῃ ἀνεγρόμενος.

Ἐρυγγάνει λέγουσιν οἱ τεχνικοί, ὅταν τις ἀπ
σιτος ᾖ· ἐρεύγεται δὲ μετὰ τὴν τροφήν.

Ἐς κόρακας Ἀττικοί, οὐκ εἰς κόρακας· καὶ ἐς μα
καρίαν, οὐκ εἰς μακαρίαν.

Ἔγχουσα, οὐκ ἄγχουσα. ἔστι δὲ ῥίζα τις ἐρυ
θρά, ᾗ τὰ πρόσωπα βάπτουσιν αἱ γυναῖκες·

Ἐξήμεσε κάλλιον ἢ ἤμεσεν.

Ἔστιγκεν, οὐκ ἔστιζεν.

Εὐνοῦχος· τὸ δὲ σπάδων ἀναττικόν.

Ἑάλωκεν Ἀττικοί, οὐχ ἤλωκε· καὶ ἑάλω, οὐ
ἥλω. τὸ δὲ ἐλήφθη κοινότερον.

Εἰσήρρησε κάλλιον ἢ εἰσεφθάρη. Ἀριστοφάνη
ἐν ἱππεῦσιν.

ἐπεὶ γὰρ εἰσήρρησεν εἰς τὴν οἰκίαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐξήρτημαι ἀντὶ τοῦ ἐκκρέμαμαι οὐ μόνον πρὸς γενικήν, ἀλλὰ καὶ πρὸς δοτικήν. Αἰσχύλος ἐν Προμηθεῖ·

ἐκηβόλοις τόξοισιν ἐξηρτημένοι.

Ἐξήρτημαι δὲ ἀντὶ τοῦ εἰς ἑαυτὸν κρεμῶ αἰτιατικῇ. Συνέσιος ἐν τῇ Τρίτῃ μὲν ἦν Αἰσχύνῃ κειμένῳ ἐπιστολῇ· χρυσία καὶ λίθους ἐξήρτητο.καὶ πάλιν ἐν ἐπιστολῇ τῇ Ἕως ἔτι περιῆν ὁ μακαρίτης Θεόδωρος· διαφερόντως δὲ τοὺς ἡμετέρους γονέας ἐξήρτητο. ἀπήρτημαι δὲ τὸ ἀποδιίσταμαι, κυρίως ἐπὶ θαλασσης, γενικῇ. ὁ αὐτὸς ἐν τῇ Λύσαντες ἐκ Βενδιδείου ἐπιστολῇ· τὸ ἀπηρτῆσθαι τοσοῦτον τῆς γῆς. ἀπήρτημαι καὶ τὸ ἐκκρέμαμαι. Λουκιανὸς ἐν τῷ Ἰκαρομένιππος ἢ ὑπερνέφελος· ἄνω που τῆς διηγήσεως ἐκ τῶν ὤτων ἀπηρτημένον.

Ἐσθὴς εὕρηται παρὰ λογογράφοις καὶ ἔσθημα· τὸ δὲ ἔσθησις παρὰ ποιηταῖς καί τισι τῶν ῥητόρων. ἰστέον δὲ ὅτι ἐσθὴς καὶ στολὴ διαφέρει τῷ τὴν μὲν ἐσθῆτα ἐπὶ τῶν ἁπλῶς ἐνδυμάτων τάττεσθαι, τὴν δὲ στολὴν ἐπὶ τῶν διαφόρων σχημάτων τῶν ἐσθήτων, οἷον ἄλλη στολὴ τῶν Ἑλλήνων καὶ ἄλλη τῶν βαρβάρων.

Ἰστέον ὅτι ἡ ἐξ ἔστιν ὅτε καὶ ἀντὶ τοῦ ἔξω τίθεται, ὡς τὸ ἐξ ἀνθρώπων ἐγένετο. καὶ Ἡρόδοτος ἐν τῇ δευτέρᾳ· τετράκις ἔλεγον ἐξ ἠθέων τὸν ἥλιον ἀνατεῖλαι, ἤγουν ἔξω τῆς συνηθείας.

Ἐληλάμενος δεῖ γράφειν προπαροξυτόνως, ὡς οὐτάμενος. ἐπειδὴ γὰρ ἐληλασμένος καὶ οὐτασμένος ἦσαν, ἔπαθον δέ τι, τὴν τοῦ σ λέγω ἀποβολήν, διὰ τοῦτο δὴ καὶ περὶ τὸν τόνον ἐκαινοτομήθησαν· ὥσ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περ καὶ τὸ ἄσμενος· ἡσμένος γὰρ ὄν, εἶτα παθ[illegible] τὴν τοῦ η εἰς α τροπὴν ἀνεβίβασε τὸν τόνον. ἰστέ[illegible] δὲ ὡς, ὅταν ἡ δευτέρα συζυγία τῶν περισπωμένω[illegible] ἢ καθαρὸν ἢ μετὰ τοῦ ρ ἔχῃ τὸ α, ἀναγκαίως ἀ[illegible] τὸν παθητικὸν παρακείμενον δίχα τοῦ σ ἐκφέρε[illegible] ὡς τεθέαμαι καὶ ἑώραμαι καὶ πεπείραμαι καὶ ὅσ[illegible] τοιαῦτα· μὴ ἔχουσα δὲ οὕτω μετὰ τοῦ σ τοῦτ[illegible] ποιεῖ, ὡς γεγέλασμαι καὶ τὰ παραπλήσια. οὕτ[illegible] καὶ τὸ ἐλήλαμαι, ἐλήλασμαι ὄν, ὡς μήτε καθαρ[illegible] ἔχον τὸ α μήτε μετὰ τοῦ ρ, ἐκβολῇ τοῦ σ ἐλήλ[illegible]μαι γέγονε. καὶ διὰ τοῦτο καὶ ἐπὶ τῆς μετοχῆς ἀ[illegible]νεβιβάσθη ὁ τόνος, ὥστε οἱ ἐληλαμένος καὶ οὐκ ἐ[illegible]ληλάμενος γράφοντες ἁμαρτάνουσιν.

Ἐπ' ἀμφότερα εἰπεῖν ἱκανὸς βέλτιον ἢ κατ' ἀμφό[illegible]

Ἐξειλεγμένος, οὐκ ἐκλελεγμένος.

Ἔνθεος οἱ δόκιμοι, οὐκ ἔνθους.

Ἕλξις, οὐχ ἕλκυσις.

Οὐ μόνον ἐναρίθμιος, ἀλλὰ καὶ ἐνάριθμος, συν[illegible]τασσόμενα ἀμφότερα καὶ πρὸς δοτικὴν καὶ πρὸς γε[illegible]νικήν. Πλάτων γὰρ ἐνάριθμον τῶν πολλῶν λέγει.

Εἰσῄει τὸν Ἀγαμέμνονα καὶ ὑπέδυ κάλλιον ἂ[illegible] εἴποις ἢ ὑπεκρίθη. Λουκιανὸς ἐν τῷ ἀναβιοῦντε[illegible] ἢ ἁλιεύς. ἤν τις ὑποκριτὴς Ἀθηνᾶν ἢ Ποσειδῶν[illegible] ἢ Δία ὑποδεδυκώς.

Εὐκταῖον ἑνικῶς παρ' οὐδενὶ τῶν παλαιῶν, εἰ μ[illegible] παρὰ Πλάτωνι ἐν νόμοις· ἀλλ' εὐκταῖα καὶ εὐκταιό[illegible]τατα.

Ἐγχυτρισμὸν ἔλεγον τὴν τοῦ βρέφους ἔκθεσιν· ἐπεὶ ἐν χύτραις ἐξετίθουν αὐτά.

Εὐήθες κατ' εὐφημισμὸν τὸ ἀσύνετον. παρὰ δὲ Δημοσθένει εἰς χρηστότητος τάξιν κεῖται· τὴν ὑμε[illegible]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

έραν εὐήθειαν καὶ φιλανθρωπίαν. καὶ Θουκυδίδης ν τῇ τρίτῃ· καὶ τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖτον μετέχει.

Καὶ τὸ εὐλαβεῖσθαι δὲ καὶ ἀντὶ τοῦ φοβεῖσθαι αὶ ἀντὶ τοῦ φυλάττεσθαι, ὡς Δημοσθένης ἐν τοῖς ιλιππικοῖς· καὶ εὐλάβεια ὡσαύτως. εὐλαβὴς μένοι καὶ ἐπὶ ἀρσενικοῦ καὶ ἐπὶ θηλυκοῦ ὁ εὔληπτος· αὶ εὐλαβὲς ἐπὶ τοῦ αὐτοῦ.

Ἐπιτροπεύω τὸν παῖδα κάλλιον ἢ ἐπιτροπεύω οῦ παιδός.

Ἐλαύνεται τὴν γνώμην βέλτιον λέγειν ἢ μαίνεαι.

Ἐγκαλῶ τὸ κατηγορῶ καὶ ἔγκλημα καὶ ἐπικαλῶ αὶ ἐπίκλημα. Θουκυδίδης· ἐπικαλοῦντες ἐπ' ἐργαα τοῖς Μεγαρεῦσι τῆς γῆς τῆς ἱερᾶς. καὶ Εὐριίδης ἐν Ὀρέστῃ·

ἐπίκλημ' ἐχούσαις ὅτι τύχοι.

Ἐκβολὴ λόγου λέγε καὶ μὴ παρέκβασις. Θουκυίδης· καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην (διὰ αῦτα.) Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ τὰς ἐκολὰς ὁπόσας ἔχει.

Ἐξαπιναίως Θουκυδίδης, Φίλων καί τινες ἄλλοι· δε ῥητορικοὶ ἐξαπίνης. τὸ δὲ ἐξάπινα οὐχ Ἑλληόν.

Φροντίζω καὶ ἐκφροντίζω γενικῇ καὶ αἰτιατικῇ. ε μὲν γὰρ ἀντὶ τοῦ φροντίδα ἔχω κεῖται, γενικῇ υντάσσεται, ὅτε δὲ ἀντὶ τοῦ ἐννοῶ, αἰτιατικῇ. Θουυδίδης· ὁ μὲν τὴν ἐπιβουλὴν ἐκφροντίζων.

Ἐπίτηδες καὶ ἐξεπίτηδες.

Ἐπίφορος ἄνεμος δεῖ λέγειν, οὐ πρόσφορος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Οὐ μόνον ἐπανάστασις, ἀλλὰ καὶ ἐπαναχώρησ Θουκυδίδης· ἐγένετο μέντοι καὶ ἐν Πεπαρίστῳ ματος ἐπαναχώρησίς τις· ὅπερ εὔδηλον ὡς ἀ τοῦ ἐπανάστασις κεῖται.*

*Καὶ ἕνεκα καὶ εἵνεκα Πλάτων, Δημοσθένης οἱ ἄλλοι· Θουκυδίδης δὲ ἀεὶ ἕνεκα.*

*Ἐφολκὰ τὰ παρακολουθήματα. Θουκυδίδης· ολκὰ καὶ οὐ τὰ ὄντα λέγεται.*

*Ἐκπλήγνυσθαι ὁ αὐτὸς μόνος· ὅπερ φιλεῖ γάλα στρατόπεδα ἀσαφῶς ἐκπλήγνυσθαι. σὺ ἐκπλήττεσθαι λέγε.*

*Εὐεπίθετος ὁ εὔκολος εἰς ἐπίθεσιν, ἤτοι ὁ εὐε χείρητος. Θουκυδίδης ἐν τῇ ἕκτῃ· καὶ ἡμῖν ἂν ε πίθετος εἴη.*

*Τὸ ἐπεῖδεν ὡς ἐπὶ πολὺ ἐπὶ συμφορᾶς τίθε Λιβάνιος ἐν μελέτῃ τῇ Ἔχων τις γυναῖκα καὶ ὑπὸ πατρί· ἐπεῖδε χειμαζομένην τὴν ναῦν. ἅπαξ καὶ ἐπὶ εὐθυμίας. Θουκυδίδης· καὶ τὴν ὑπάρχους σφίσι πατρίδα νικήσαντες πάλιν ἐπιδεῖν.*

*Ἔνεστιν ἀντὶ τοῦ ἐνυπάρχει καὶ ἀντὶ τοῦ δυν τόν ἐστιν. Ἔξεστιν ἀντὶ τοῦ ἄδειά ἐστι. σύνεσ ἀντὶ τοῦ συνυπάρχει καὶ διαλέγεται· λαμβάνε δὲ καὶ ἀντὶ τοῦ συνουσιάζει. πρόσεστιν ἀντὶ σὺν τῷδε ἔστι καὶ τόδε. μέτεστιν ἀντὶ τοῦ μετ σία ἐστί. πάρεστιν ἀντὶ τοῦ παρὼν ἢ παροῦσά ἐσ ἔπεστιν ἀντὶ τοῦ ἐπ' ἐμοί ἐστι, καὶ ἀντὶ τοῦ ἐ πάρχει. Ἀριστοφάνης ἐν Πλούτῳ·*

*τὰ ἐπόντα ἐπὶ τοῦ πίνακος.*

*περίεστιν ἀντὶ τοῦ περιουσία ἐστίν, ἤγουν πλῆθ*

καὶ ἀντὶ τοῦ ζῇ, καὶ ἀντὶ τοῦ νικᾷ. ἄπεστιν ἀντὶ τοῦ μακράν ἐστι.

Τὸ εἱμαρμένη ὄνομα μετοχικόν ἐστιν, οὐ μετοχή, ὥσπερ καὶ τὸ ἐρωμένη, ἐνίοτε δὲ καὶ τὸ ἄρχων· ὡσαύτως καὶ τὸ καύσων καὶ τὸ ἑκὼν καὶ ὅσα ἐξέπεσον τοῦ ἰδιώματος τοῦ ῥήματος. τὸ μὲν οὖν εἱμαρμένη καὶ τὸ ἐρωμένη παθητικὰ ὄντα καὶ ὀφείλοντα πρὸς δοτικὴν συντάσσεσθαι, ὡς τὰ τοιαῦτα παθητικὰ ῥήματα, ταῦτα πρὸς γενικὴν λέγονται· ἡ εἱμαρμένη γὰρ τοῦ δεῖνος λέγεται, καὶ ἡ ἐρωμένη τοῦ δεῖνος. τὸ δὲ ἄρχων, ὀφεῖλον ἐπίρρημα ἔχειν ἀεὶ ἐπαγόμενον, δηλοῦν τῆς ἀρχῆς τὴν ἐνέργειαν ὁποία ἐστίν, ὅπερ ἀπαιτεῖ τὸ ῥῆμα, οἷον ἄρχει τις δικαίως· (ἐν γὰρ τῷ ἄρχειν δικαίως τὸ δικαίως οὐ πρὸς τὸ ἄρχειν τείνει, ἀλλὰ πρὸς τὸν ἔχοντα τὴν ἀρχήν·) τοῦτο ἐνίοτε μὲν ἐπίρρημα ἔχει ἐπαγόμενον, ὅτε καὶ μετοχή ἐστιν, ἐνίοτε δὲ ὄνομα ἐπίθετον, ὅτε ἐξ ἀνάγκης ὄνομά ἐστιν, ὡς ἐν τῷ ἄρχων τ' ἀγαθὸς κρατερὸς τ' αἰχμητής. τὸ δὲ ἑκὼν ὀφεῖλον ἀπαρεμφάτῳ συντάσσεσθαι, ὡς τὰ τῆς θελήσεως πάντα ῥήματα, οἷον θέλω σωθῆναι, τοῦτο δὲ οὐδέποτε οὕτω συντάσσεται. τὸ δὲ καύσων καὶ αὐτὸ ὀφεῖλον μεταβατικὸν εἶναι, ὡς τὸ κάω, τόδε οὐ μεταβαίνει.

Εὔκαρπα δένδρα ὧν ὁ καρπός ἐστι χρήσιμος ἀνθρώποις εἰς τροφήν· ἄκαρπα (δὲ) τὸ ἐναντίον, ἤγουν ὧν τοῖς καρποῖς οὐ χρῶνται οἱ ἄνθρωποι. ἄκαρπον δὲ τὸ μὴ ποιοῦν καρπὸν παρ' οὐδενὶ τῶν παλαιῶν εὕρηται, ἀλλ' ἀντὶ τοῦ ἄκαρπόν ἐστιν οὕτω λέγου-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σιν, οὐκ ἔρρωται πρὸς καρπούς, καὶ οὐκ ἐπιτηδείως ἔχει προς καρπούς.

Ἐπίκωποι οἱ ἔχοντες τὰς κώπας καὶ τὰ πηδάλια· ἐπιβάται δὲ κοινῶς μὲν οἱ ἐπ' ἀλλοτρίας νεὼς τὸν πλοῦν ποιούμενοι διδόντες ναῦλον, Ἀττικῶς δὲ οἱ ἔνοπλοί τε ὄντες καὶ παρεσκευασμένοι εἰς μάχην. ἐν δὲ τοῖς ἅρμασιν ὁ μὲν μαχόμενος παραβάτης λέγεται παρ' Ὁμήρῳ, ὁ δὲ τὰς ἡνίας ἔχων ἡνίοχος.

Ἐπέθηκά τινι ἐπιστολὴν ἀντὶ τοῦ παρέδωκα ὥστε διακομίσαι. καὶ ἀντεπιτίθησιν ὁ ἀντὶ τῆς κομισθείσης αὐτῷ ἐπιστολῆς ἑτέραν διδούς· καὶ ἐπίθετος ἐπιστολὴ ἡ δοθεῖσά τινι ὥστε διακομίσαι αὐτήν.

Ἰστέον ὅτι τὰ τροχαϊκὰ ρήματα περισπώμενα τὰ μὲν ἐν ταῖς συνθέσεσι τῶν προθέσεων ἀναβιβάζει τὸν τόνον, οἷον οἶσθα σύνοισθα, οἶδα σύνοιδα, κεῖμαι πρόσκειμαι, και ἕτερα· τὰ δὲ οὐκ ἀναβιβάζει, οἷον εἶπε κατεῖπεν, εἶχον κατεῖχον.

Οὐ μόνον ἐπίδειξις, ἀλλὰ καὶ ἐπίδειγμα. Ἀριστείδης ἐν τῷ εἰς βασιλέα· καὶ ταῦτα οὐ μόνον πραότητός ἐστιν ἐπίδειγμα.

Ποτήριον οὐδεὶς τῶν δοκίμων εἶπεν, ἀλλὰ ἔκπωμα καὶ φιάλη καὶ κύλιξ.

Ἐπέκεινα ρήτορες λέγουσιν. Ἀριστείδης ἐν τῷ πρὸς Καπίτωνα· οὕτως ἐμοὶ φίλος ἀνὴρ καὶ φίλων ἐπέκεινα. ὑπερέκεινα δὲ μόνοι οἱ σύρφακες.

Οὐδεὶς τῶν ρητόρων εἶπεν ἐκ νέας ἡλικίας, ἀλλὰ μόνον ἐκ νέας. Συνέσιος ἐν ἐπιστολῇ· ὅτι δὲ ἀρετὴν ἐκ νέας ἀσκεῖ. σὺ δὲ καὶ ἐκ νέου λέγε καὶ ἐκ παιδὸς καὶ ἐκ μειρακείου.

Εὔχομαι καὶ προσεύχομαι παρὰ τοῖς ρήτορσιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀεί· εὐχὴ δὲ καὶ ἅπαξ προσευχή, ὡς ὁ Πλάτωνος λόγος Ἀλκιβιάδης ἐπιγραφόμενος ἢ περὶ προσευχῆς. συντάσσεται δὲ τὸ προσεύχομαι πρὸς δοτικήν, ἅπαξ δὲ καὶ πρὸς αἰτιατικήν. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἵνα προσεύξῃ τὸν θεόν.

Ἐκπλήττω οὐ μόνον τὸ εἰς ἔκπληξιν ἄγω, ἀλλὰ καὶ τὸ ἐκπλήττομαι ἅπαξ. Λουκιανὸς ἐν τῷ Χάρων ἢ ἐπισκοποῦντες· ἐκπλήττειν ἐνίοτε καὶ ὑποπτήσσειν ποιεῖ. ἔστι δὲ ἐκπλήττω καὶ τὸ ἐξιστῶ καὶ ἐκβάλλω. Εὐριπίδης ἐν Ὀρέστῃ·

ὅ μ' ἐκπλήσσει φόβου.

Θουκυδίδης ἐν τῇ δευτέρᾳ· ὧν καθ' ἡμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει. καὶ αὖθις ἐν τῇ αὐτῇ· φόβος γαρ μνήμην ἐκπλήσσει.

Εὑρίσκομαι οὐ μόνον ἐπὶ παθητικοῦ, ἀλλὰ καὶ ἐπὶ ἐνεργητικοῦ. Λουκιανὸς ἐν τῷ ἀναβιοῦντες ἢ ἁλιεύς· ἀεί τινας ἀποφυγὰς εὑρισκομένοις.

Ἐλλέβορος ἐπὶ ἀρσενικοῦ, οὐ τὸ ἐλλέβορον. Λουκιανὸς ἐν τοῖς νεκρικοῖς· οὐδὲ τὸν ἐλλέβορον ἀναίνομαι πιεῖν.

Ἐλπίζω οὐ μόνον τὸ προσδοκῶ, ἀλλὰ καὶ τὸ εἰς ἐλπίδας ἐμβάλλω. ὁ αὐτὸς ἐν τοῖς αὐτοῖς· εὖ μάλα διαβουκολεῖ αὐτοὺς καὶ ἐλπίζει. Θουκυδίδης ἐν τῇ ὀγδόῃ· ὁπόσοι τότε αὐτοὺς θειάσαντες ἐπήλπισαν, ὡς λήψονται Σικελίαν.

Ἐπιλανθάνομαι ὡς ἐπιτοπλεῖστον μὲν γενικῇ συντάσεται· καὶ αἰτιατικῇ δὲ ἅπαξ παρὰ Λουκιανῷ ἐν τοῖς ἑταιρικοῖς· οἶσθα αὐτὸν ἢ ἐπιλέλησαι τὸν ἄνθρωπον.

Οὐ μόνον εὐπρόσοδος ἀγρὸς ὁ πολλὰς προσόδους

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔχων, καὶ εὐπρόσοδος ἄνθρωπος ὁ εὐέντευκτος, καὶ εὐπρόσοδον χωρίον τὸ ῥάστην εἴσοδον ἔχον, ὧν ἐναντία τὸ δυσπρόσοδος ἀγρὸς καὶ ἄνθρωπος καὶ δυσπρόσοδον χωρίον, περὶ ὧν εἴρηται ἐν τῷ δέλτα, ἀλλὰ καὶ εὐπρόσοδος πάλιν ἄνθρωπος ὁ τοῖς δεομένοις ἐπαρκῶν. Πλούταρχος· ὅτι πᾶσιν εὐπρόσοδος ἦν τοῖς δεομένοις καὶ τὴν οἰκίαν ἀνεωγμένην ἀεὶ παρεῖχεν.

Ἐπικαλοῖμαι οὐ μόνον τὸ πρὸς βοήθειάν τινα παρακαλῶ, ἀλλὰ καὶ τὸ ἐπονομάζομαι, ὡς παρ' Αἰσχίνῃ ἐν τῷ κατὰ Τιμάρχου. Ἀριστείδης ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν Τιμάρχῳ τουτωὶ δίκαιος ἐπικαλούμενος.

Μὴ μόνον ἐπεστραμμένως λέγε, ἀλλὰ καὶ ἐπιστρεφῶς, ὡς ὁ αὐτὸς Αἰσχίνης· ὅτι καὶ μάλα ἐπισρεφῶς καὶ ῥητορικῶς. καὶ μὴ μόνον ἐπισταμένως, ἀλλὰ καὶ εἰδότως καὶ σαφῶς διδάξας δὴ ταῦτα.

Εὐφημία οὐ μόνον ὁ ἔπαινος, ἀλλὰ καὶ ἡ τῶν λόγων καλορρημοσύνη, ἤγουν τὸ καλοὺς καὶ πρέποντας λόγους λέγειν, ὡς ὁ αὐτὸς πάλιν· Φίλιππον νῦν μὲν διὰ τὴν τῶν λόγων εὐφημίαν ἐπαινῶ. ὡσαύτως καὶ εὐφημῶ οὐ μόνον τὸ ἐπαινῶ, ἀλλὰ καὶ τὸ καλὰ καὶ πρέποντα λέγω, ὡς Ἀριστοφάνης ἐν νεφέλαις·

εὐφημεῖν χρὴ τὸν πρεσβύτην καὶ τῆς
εὐχῆς ὑπακούειν.

Το εὐνομεῖσθαι οὐκ ἐπὶ πόλεως μόνον καλῶς καὶ καὶ ὑπὸ νόμων διοικουμένης τίθεται, ἀλλὰ καὶ ἐπὶ οἰκίας σωφρόνως καὶ ὡς δεῖ οἰκονομουμένης. Αἰσχίνης· κατιδὼν γὰρ οἰκίαν πλουσίαν καὶ οὐκ εὐνομουμένην.

Οὐ μόνον περιδέξιος, ἀλλὰ καὶ ἐπιδέξιος, ὡς ὁ αὐτός· ἐπιδέξιοι δ' οἶμαι φύντες ἑτέρων μᾶλλον. καὶ πάλιν· τῆς ἐν τοῖς πότοις ἐπιδεξιότητος.

Ἐπιψηφίζω ἐγὼ τοῖς παροῦσιν ἀντὶ τοῦ ἐπιβεβαιῶ· καὶ ἐπιψηφίζω ἕτερον ἀντὶ τοῦ μάρτυρα ἐφ' οἷς λέγω καλῶ. Πλάτων ἐν Γοργίᾳ· μὴ οὖν μηδὲ νῦν με κέλευε ἐπιφηφίζειν τοὺς παρόντας. καὶ αὖθις ἐν τῷ αὐτῷ λόγῳ· καὶ ἕνα ἐπιψηφίζειν ἐπίσταμαι.

Ἑταιρότερος οὐχ εὕρηται, ἐμοὶ δοκεῖν διὰ τὸ οὐκ εὔφωνον. ἑταιρότατος δὲ ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· ταῦτα ἐμοὶ συμβουλεύοντος, ἅπερ τοῖς σαυτοῦ ἑταιροτάτοις. καὶ ἐν Φαίδωνι· οὓς ἂν ἡγήσαιτο οἰκειοτάτους τε καὶ ἑταιροτάτους.

Ἔνστασις οὐ μόνον τὸ ἐνίστασθαι πρὸς τὸν τοῦ κατηγόρου λόγον, ἤγουν μάχεσθαι καὶ ἀντιπίπτειν καὶ τἀναντία ἀντικατασκευάζειν, ἀλλὰ καὶ τὸ διατιθέναι καὶ οἰκονομεῖν, ὡς ὁ αὐτὸς Αἰσχίνης· ἡ μὲν τοίνυν ἐξ ἀρχῆς ἔνστασις τῶν ὅλων πραγμάτων. καὶ ἐνεστησάμην τὸν ἀγῶνα ἀντὶ τοῦ διέθηκα καὶ ᾠκονόμησα.

Οὐ μόνον διαδοχή, ἀλλὰ καὶ ἐκδοχή, ὡς ὁ αὐτός τὴν ἐκδοχὴν ἐποιήσατο πρὸς τὴν πόλιν τοῦ πολέμου.

Εὐστομεῖν ἀντὶ τοῦ εὐγλωττεῖν καὶ ἀντὶ τοῦ εὐφημεῖν. εὔστομα κείσθω παρ' Ἡροδότῳ· ἀντὶ τοῦ εὐφήμως εἰρήσθω.

Ἐροίην ἀντὶ τοῦ λέξοιμι. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης· ****

Ἐρευνῶμαι κάλλιον ἢ ἐρευνῶ. ὁ αὐτὸς ἐν τῷ αὐ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ λόγῳ· καὶ ἡ διερευνομένη νοῦν τε ἔχοντα καταμαθοῦσα τὸν φόβον.

Ἐλπὶς ἐπὶ καλοῦ, προσδοκία καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ. Συνέσιος ἐν τῇ Αἱ κακοποιοὶ δυνάμεις ἐπιστολῇ· ἐλπὶς ἀγαθῶν καὶ φόβος χειρόνων. ἅπαξ δὲ ἡ ἐλπὶς καὶ ἐπὶ κακοῦ. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης· ἐμοὶ δὲ ἡ τῶν δεινῶν ἐλπὶς ἧττον εἶναι κακὸν τοιαύτης εὐχῆς ἐφαίνετο.

Εὔγνωμον μὴ λέγε, ὡς εὔδαιμον, ἀλλ' εὐγνῶμον· ἄγνωμον δὲ καὶ σύγγνωμον. Λουκιανὸς ἐν τῷ δὶς κατηγορούμενος· ἄγνωμον γὰρ ἐπ' ἐμὲ τὴν ἐμὴν μάχαιραν ἀκονᾶν. Θουκυδίδης· ξυγγνωμον δ' ἐστὶ τὸ ἀκούσιον. εὐγνῶμον δὲ ἀνθρώπιον ὁ αὐτός φησιν.

Οὐ μόνον ἐπιθαλάττιον, ἀλλὰ καὶ ἐπιθαλαττίδιον. Λιβάνιος ἐν τῷ Ἀντιοχικῷ· πόλιν γὰρ ἐπιθαλαττίδιον ναυτικῆς ἀπειροκαλίας ἀνάγκη γέμειν.

Ἑλληνίζω οὐ μόνον ἐγώ, ἀλλὰ καὶ ἄλλον Ἑλληνικῶς ἔχειν ποιῶ, ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· ἐλληνίζων διετέλεσε τὴν βάρβαρον.

Οὐ μόνον ἐκτάδην, ἀλλὰ καὶ ἐκταδόν, ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· ἐκταδὸν οὕτω στοαὶ τῶν οἰκιῶν προκείμεναι.

Ἐπιτρέπει οὐ μόνον ὁ μείζων τῷ ἐλάττονι, ἀλλὰ καὶ τὸ ἐναντίον. Θουκυδίδης ἐν τῇ πρώτῃ· ἤθελον δὲ καὶ τῷ ἐν Δελφοῖς μαντείῳ ἐπιτρέψαι. Ἀριστείδης ἐν τῷ Ροδίοις περὶ ὁμονοίας· ὑπὲρ μὲν τῶν κατ' ἐμαυτὸν τοῖς θεοῖς ἐπιτρέπων.

Εὔνοια καὶ ἀπὸ τοῦ ἐλάττονος πρὸς μείζονα καὶ ἀπὸ τοῦ μείζονος πρὸς ἐλάττονα, εὐμένεια δὲ ἀεὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπὸ τοῦ μείζονος πρὸς ἐλάττονα· εὕρηται δὲ καὶ τὸ ἐναντίον. Αἰσχύλος ἐν τοῖς Πέρσαις·

εὐμενεῖς δ' ἡμᾶς καλεῖς.

Θουκυδίδης ἐν τῇ πέμπτῃ· τῆς πρὸς τὸ θεῖον εὐμενείας. καὶ Ἀριστείδης ἐν τῷ περὶ τοῦ πέμπειν βοήθειαν τοῖς ἐν Σικελίᾳ· μὴ παντάπασιν ἔχειν εὐμεμενῶς τοῖς δεσπόταις.

Ἑρμογλύφος καὶ ἑρμογλυφεύς, οἱ λιθοξόος. Λουκιανὸς ἐν τῷ περὶ τοῦ ἐνυπνίου· ὁ πρὸς μητρὸς θεῖος, ἄριστος ἑρμογλύφος. καὶ αὖθις ἐν τῷ αὐτῷ λόγῳ· λίθων ἐργάτην ἀγαθὸν εἶναι καὶ συναρμοστὴν καὶ ἑρμογλυφέα.

Ἐνδεδυκὼς ὁ ἐνδεδυμένος, οὐχ ὁ ἐνδύσας. ὁ αὐτὸς ἐν τῷ αὐτῷ· οὐκ ἔτι τὴν ἐσθῆτα ἐκείνην ἐνδεδυκότα. καὶ αὖθις ἐν τῷ δὶς κατηγορούμενος· κάνδυν ἐνδεδυκότα ἐς τὸν Ἀσσύριον τρόπον.

Ἐπιδρομὴ οὐ μόνον ἡ καταδρομή, ἀλλὰ καὶ ἡ συνδρομή. ὁ αὐτὸς ἐν τῷ Δημοσθένους ἐγκωμίῳ· καὶ μυρίαι γεγόνασιν αὐτοῖς ἐπὶ ταυτὸν τῆς διανοίας ἐπιδρομαί.

Ἐφιέμενος καὶ ὁ ὀρεγόμενος καὶ ὁ ἐντελλόμενος καὶ ὁ πέμπων. Θουκυδίδης ἐν τῇ πρώτῃ· ἐφιέμενος τῆς Ἑλληνικῆς ἀρχῆς. καὶ αὖθις ἐν τῇ τετάρτῃ· ὁ δὲ ἐς τὴν Λακεδαίμονα ἐφιέμενος στρατιάν τε προσαποστέλλειν ἐκέλευεν.

Ἀπὸ τοῦ ἐνδοιάζω τὸ ἀμφιβάλλω καὶ ἐνδοιαστῶς ἀντὶ τοῦ ἀμφιβόλως. ὁ αὐτὸς ἐν τῇ ἕκτῃ· καὶ ἄλλοι τινὲς κατὰ τὰς ἠπείρους ἐνδοιαστῶς ἀκροῶνται.

Καὶ δοχὴ καὶ ἐπιδοχή. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· ρα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δίας ἔχουσι τῶν πολιτειῶν τὰς μεταβολὰς καὶ ἐπιδοχάς.

Οὐ μόνον συμμαχῶ, ἀλλὰ καὶ ἐπιμαχῶ· καὶ συμμαχία καὶ ἐπιμαχία. ὁ αὐτὸς ἐν τῇ πέμπτῃ· πρὸς Ἀργείους ξυμμαχίαν ποιεῖσθαι, ὥστε τῇ ἀλλήλων ἐπιμαχεῖν.

Ὥσπερ ἐξερῶ τὸ ἀκριβῶς λέξω, οὕτω καὶ ἐξερήσομαι τὸ ἀκριβῶς ἐρωτήσω. Ἀριστείδης ἐν Λευκτρικῷ πέμπτῳ· ἐξερήσομαι δὲ τοὺς ὑπὲρ ἑκατέρων εἰρηκότας.

Ἐπίνικος Ἀττικοί, ἐπινίκιος Ἕλληνες. Ἀριστείδης ἐν τῷ περὶ τοῦ παραφθέγματος· ὥσπερ (αὐτὸς) αὐτῷ τὸν ἐπίνικον ποιῶν. Λιβάνιος ἐν τῷ εἰς τὸν Ἰουλιανὸν ἐπιταφίῳ· καθήμενον ἐπὶ τοῦ βασιλείου θρόνου δέχεσθαι τοὺς ἐπινίκους. τίθεται δὲ τὸ μὲν ἐπινίκιος καὶ μετὰ προσθήκης καὶ χωρὶς προσθήκης, οἷον ἐπινίκιος λόγος καὶ ἐπινίκιος μόνον· τὸ δὲ ἐπίνικος οὐδέποτε μετὰ προσθήκης.

(Εὐθὲς τὸ ἀληθές· παρὰ μόνῃ τῇ θείᾳ γραφῇ εὕρηται ἀπό τινος ἀρσενικῆς εὐθείας διὰ τοῦ η γραφομένης· παρὰ οὐδενὶ δὲ τῶν Ἑλλήνων εὕροις ἄν, ἀλλ' εὐθὺ τὸ ἐναντίον τοῦ σκαμβοῦ. ὡς γὰρ ὀξὺς ὀξέως ὀξύ, καὶ ἡδὺς ἡδέος ἡδύ, καὶ ὅσα τοιαῦτα, οὕτω καὶ διὰ τοῦ υ ψιλοῦ εὐθὺς εὐθέος εὐθύ.)

(Τὸ ἕως ἂν καὶ μέχρις ἂν ὑποτακτικῷ ἀεὶ συντάσσονται· ἅπαξ δὲ καὶ εὐκτικῷ, ὡς ἐν τῷ περὶ στεφάνου Δημοσθένους λόγῳ· ἕως ἂν τὰ τῆς στρατείας τῆς ἐπὶ τοὺς Φωκέας εὐπρεπεῖς ποιήσαιτο.)

## Ζ

Ζῶμα ἡ ζώνη, οὐ ζῶσμα. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ζῶμα τοὐμὸν οὐ χλιδαῖς ἠσκημένον.

καὶ Θουκυδίδης· διαζώματ' ἔχοντες περὶ τὰ αἰδοῖα οἱ ἀθληταὶ ἠγωνίζοντο.

Ζητήσομαι, οὐ ζητήσω.

Ζηλῶ Ἀττικοὶ λέγουσιν, οὐ ζηλοτυπῶ, ὡς τὸ

ζηλοῖ δέ τε γείτονα γείτων.

παρ' Ἡσιόδῳ. ἔστι δὲ τὸ ζηλῶ καὶ ἀντὶ τοῦ μιμοῦμαι, ἀφ' οὗ καὶ ζῆλος καὶ ζηλωτὴς καὶ ζήλωσις. ἐκ μέντοι τοῦ ζηλῶ τὸ ζηλοτυπῶ οὐ ζῆλος καὶ ζηλωτής, ἀλλ' ὡς ἀπὸ τοῦ ζηλοτυπῶ ζηλοτυπία καὶ ζηλότυπος. (Ἀριστοφάνης ἐν Πλούτῳ·

οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν.)

ζηλῶ καὶ τὸ πάσχω ὑπέρ τινος ἀδικουμένου ἢ ἀδίκου γινομένου· καὶ ζῆλος, ὅθεν φαμὲν καὶ ζήλου τὴν ψυχὴν ἐπλήσθην· καὶ ζηλωτής. ζηλῶ καὶ τὸ μακαρίζω ἀπὸ αἰτιατικῆς εἰς γενικὴν συντασσόμενον, ὡς τὸ

ζηλῶ σε τοῦ νοῦ

παρὰ Σοφοκλεῖ· καὶ ζῆλος, ὡς Δημοσθένης· καὶ ζήλου καὶ χαρᾶς καὶ ἐπαίνων ἦν ἡ πόλις μεστή· καὶ ζηλωτὸς ὁ μακαριστός.

Ζωννύς, οὐ ζωννύων.

Ζωπυρῶ, οὐ πυρός τι ὑποκρύπτω· ἀφ' οὗ καὶ ζώπυρον. Λουκιανὸς ἐν Τίμωνι· ζώπυρον τοῦ ἀνθρωπείου γένους, ἤγουν ὑπόλειμμα. εἴληφε δὲ (καὶ) τοῦτο ἐκ τοῦ Πλάτωνος λέγοντος· μικρὰ ζώπυρα τοῦ τῶν ἀνθρώπων γένους.

Ζυγὸς ἀρσενικῶς ἐπὶ ἁμάξης, ἐπὶ δὲ σταθμοῦ οὐ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ζυγός, ἀλλὰ τὰ ζυγὰ οὐδετέρως πληθυντικῶς· τὸ γὰρ ζυγὸν ἀδόκιμον.

Ζώνιον κυρίως ἐπὶ γυναικός. Πλούταρχος ἐν συμποσίῳ τῶν ἑπτὰ σοφῶν· καὶ διαπλέκουσαν ὥσπερ ζώνια καὶ κεκρυφάλους προβάλλειν ταῖς γυναιξί. ζώνη δὲ ἐπὶ ἀνδρός, καὶ ἐπὶ γυναικὸς δὲ καταχρηστικῶς. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· λυσαμένη τὴν ζώνην ἐν Ζωστῆρι τῆς Ἀττικῆς.

Ζωνιοπλόκος, οὐ ζωνοπλόκος, διὰ τὸ ὡς ἐπιτοπλεῖστον οἶμαι τὰ τῶν γυναικῶν ζώνια εἶναι πεπλεγμένα.

Ζάκορος καὶ νεωκόρος διαφέρει· ὁ γὰρ ζάκορος σεμνότερόν τι ἦν νεωκόρου.

Ζάπλουτος κάλλιον ἢ μεγαλόπλουτος. οὐ μόνον δε ζάπλουτος, ἀλλὰ καὶ ζάχρυσος. Λιβάνιος ἐν τῷ Ἀντιοχικῷ· οὗ μὲν ἀμαθὴς ἡ βουλή, κἂν πάνυ ζάχρυσος ᾖ.

Οὐ δεῖ λέγειν περὶ φίλου, ὡς πρὸς τὸν δεῖνα περὶ τοῦδέ τινος ἐζυγομάχουν, ἀλλὰ ἠμφισβήτουν καὶ ἤριζον καὶ ἐφιλονείκουν· τὸ γὰρ ἐζυγομάχουν ἐπὶ ἐχθροῦ λαμβάνεται. ὡσαύτως καὶ τὸ ἐδικαζόμην, οἷον ἐδικαζόμην τῷ δεῖνι περὶ τοῦδε.

Ζεῦγμα καὶ τὸ ζευγνύον δύο τινὰ καὶ αὐτὸ τὸ ζεῦγος. γίνεται δὲ ἀπὸ τοῦ ἔζευγμαι, οὗ τὸ θέμα ἐστὶ τὸ ζεύγω, οὐκ ἐν χρήσει ὄν· ἀντ' αὐτοῦ γὰρ τὸ ζεύγνυμι.

Ζευγνύασι κάλλιον ἢ ζευγνῦσι· τὸ δὲ ζευγνύουσι κοινόν. ὡσαύτως καὶ κτιννύασιν ἢ κτιννῦσι. Πλάτων ἐν Γοργίᾳ· τί δ'; οὐχ ὥσπερ οἱ τύραννοι ἀποκτιννύασί τε, ὃν ἂν βούλωνται; καὶ δεικνύασιν ἢ δεικνῦσιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἡρόδοτος ἐν τῇ δευτέρᾳ· ἐπεάν σφι κομισθῇ νεκρός, δεικνύασι τοῖσι κομίσασιν.

**Η.**

Ἥρω Ἀττικοί, οὐχ ἥρωα, καὶ ἥρως ἐπὶ αἰτιατικῆς τῶν πληθυντικῶν, καὶ οὐχ ἥρωας· ἥρωες δέ, οὐχ ἥρως· (εἰ καὶ) ἅπαξ Ἀριστοφάνης ὑπὸ τοῦ μέτρου βιασθεὶς οἱ ἥρως εἶπε· τῷ δ' ἠναγκασμένῳ οὐ χρηστέον.

Ἥδυσμα, οὐκ ἄρτυμα.

Ἥκω καὶ ἀντὶ τοῦ ἔρχομαι, ὡς Αἰσχύλος·

ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι,

καὶ ἀντὶ τοῦ ἦλθον, ὡς τό·

ἥκω νεκρῶν κευθμῶνα (καὶ σκότου πύλας)
λιπών

παρ' Εὐριπίδῃ ἐν Ἑκάβῃ. καὶ Λιβάνιος (δὲ) ἐν μελέτῃ τῇ τοῦ ῥήτορος· ἥκω τοὺς ἐπιόντας ἐχθροὺς μόνος ὠθήσας τῇ γλώττῃ. οὕτως Ἀττικοὶ τῷ ἐνεστῶτι ἀντὶ (τοῦ) παρῳχημένου χρῶνται· τὸ δὲ ἧκον κοινότερον.

Ἠφίει, οὐκ ἀφίει

Ἦσθα οὐκ ἀντὶ τοῦ ὑπάρχεις, ἀλλ' ἀντὶ τοῦ ὑπῆρχες. Σοφοκλῆς·

οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.

καὶ ἁπλῶς πάντες οἱ δοκιμώτατοι ἐπὶ παρῳχημένου τοῦτο λέγουσιν, ὥστε οἱ ἀντὶ ἐνεστῶτος χρώμενοι ἁμαρτάνουσι

Ἤμελλον Ἀττικοί, οὐκ ἔμελλον.

Ἠρόμην, οὐκ ἠρώτησα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Ἠχὴ καὶ ἠχώ, οὐκ· ἦχος. Συνέσιος ἐν ἐπιστολῇ· ἡ θαυμαστή σου τῶν ἱερῶν λόγων ἠχώ.

Ἥττους καὶ ἥττω οὐδετέρως ἐπὶ εὐθείας καὶ αἰτιατικῆς τῶν πληθυντικῶν Ἀττικοὶ λέγουσι· καὶ ἁπλῶς τὴν τοιαύτην κρᾶσιν ἐπὶ πᾶσι τοῖς εἰς ων συγκριτικοῖς καὶ ἐν τοῖς τρισὶ γένεσι ποιοῦσιν.

Ἠλίθιος ἀνὴρ ὁ μαλακὸς καὶ ἀκίνητος τὴν γνώμην, οὐ μόνον ὁ ἀνόητος. ἠλίθιος καὶ ὁ πρὸς τὰ ἀφροδίσια ἀκίνητος.

Ἡβᾶν καὶ ἀνηβᾶν κάλλιον ἢ ἡβάσκειν καὶ ἀνηβάσκειν. Φιλόστρατος· καὶ τὰς αἰσθήσεις ἡβῶν. Συνέσιος ἐν ἐπιστολῇ· ὅν φασιν αἱ ποιήσεις δὶς ἀνηβῆσαι.

Ἡρπάσθην οὐχ ἡρπάγην.

Ἦλθε κοινόν, ἐλήλυθε δὲ Ἀττικόν.

Ἡρακλέα, ὡσαύτως δὲ καὶ Θεμιστοκλέα καὶ Περικλέα καὶ ὅσα τοιαῦτα, ἐπεκτείνων τὴν τελευταίαν συλλαβὴν λέγε, ἢ Ἡρακλῆ χωρὶς τοῦ ν καὶ Θεμιστοκλῆ, ἀλλὰ μὴ Ἡρακλῆν, Θεμιστοκλῆν, Περικλῆν.

Ἠθέληκα Ἀττικοὶ λέγουσιν ἀπὸ τοῦ ἐθέλω, ἐθελήσω, ἠθέληκα. τὸ δὲ τεθέληκα Ἀλεξανδρεωτικόν, ἀπὸ τοῦ θέλω κανονιζόμενον.

Ἁμαρτάνουσιν οἱ τὰ ἡμίση λέγοντες καὶ οὐ τὰ ἡμίσεα· τὰ γὰρ τριγενῆ τῶν ὀνομάτων ἐπὶ τῶν οὐδετέρων διῃρημένας ἔχουσι τὰς τοιαύτας πτώσεις, οἷον οἱ γλυκεῖς αἱ γλυκεῖαι τὰ γλυκέα, οἱ ὀξεῖς αἱ ὀξεῖαι τὰ ὀξέα· οὕτως ἄρα καὶ οἱ ἡμίσεις αἱ ἡμίσειαι τὰ ἡμίσεα. καὶ ἐπὶ τοῦ ἑνικοῦ δὲ ἡμίσεως λέγε, ὡς ὀξέος καὶ γλυκέος, ἀλλὰ μὴ ἡμίσους. Δίων οὖν ἡμίσους λέγων ἁμαρτάνει. Θουκυδίδης ἐν τῇ τετάρτῃ·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρίτον μέρος ἀνθ' ἡμίσεως τῆς τροφῆς ἐδίδου. ἐπὶ δὲ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν καὶ τοῦ ἀρσενικοῦ καὶ τοῦ θηλυκοῦ καὶ συνῃρημένως καὶ ἀσυναιρέτως ἐκφέρουσιν, ὡς ὁ αὐτός· τῶν πρέσβεων τοὺς ἡμίσεις. καὶ πάλιν· τὰς ἡμίσεας τῶν νεῶν. κάλλιον δὲ τὸ ἀσυναίρετον.

Ἥρμοσται τὴν γλῶτταν ῥητορικῶς κάλλιον ἂν εἴποις, ἢ κατὰ ῥήτορας λέγει ἢ γράφει.

Ἥμαρτον δόκιμον καὶ ἁμαρτεῖν· ἡμάρτησα δὲ ἀδόκιμον καὶ ἁμαρτῆσαι, εἰ καὶ Ἀριστείδης ἅπαξ εἶπεν ἐν τῷ ὑπὲρ ῥητορικῆς πρώτῳ ἁμαρτήσασθαι.

Ἡσυχαίτερον, οὐχ ἡσυχώτερον. Θουκυδίδης· μᾶλλον δὲ καὶ ἡσυχαίτερα καὶ τοῖς εἴδεσι διηλλαγμένα.

Ἠιών, ᾐόνος κάλλιον ἢ ἠϊών, ἠϊόνος.

Ἡμωδία ἐπὶ τῶν ὀδόντων κάλλιον ἢ αἱμωδία.

Ἦθος οὐ μόνον ἐπὶ ἀνθρώπου λέγεται, ἀλλὰ καὶ ἐπὶ πόλεως, ὡς Δημοσθένης· τὸ τῆς πόλεως ἦθος, ἤγουν τὴν κατάστασιν καὶ τὴν γενναιότητα. καὶ ἦθος ἡ εὔλογος αἰτία. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· οὐδὲ τὰ τολμήματα τῆς πόλεως ἀσπάσασθαι μᾶλλόν ἐστιν ἢ τὸ τῶν ἔργων ἦθος.

Ἡνία καὶ ῥυτῆρες οἱ ἱμᾶντες τοῦ χαλινοῦ, οὓς κατέχουσι ταῖν χεροῖν οἱ ἱππεύοντες. χαλινὸς δὲ ἰδίως μὲν τὰ ἐν τῷ στόματι τοῦ ἵππου λέγεται, καταχρηστικῶς δὲ καὶ τὸ ὅλον. φάλαρα δὲ τὰ ἐν τῷ μετώπῳ.

Ἥλιος λέγεται καὶ μία ἑκάστη ἡμέρα διὰ τὸν ἥλιον τῇ τοῦ οὐρανοῦ φορᾷ ἀποκαθιστάμενον ὅθεν ἤρξατο νυχθήμερον ποιεῖν. (καὶ) Λιβάνιος ἐν ἐπι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στολῇ τῇ Οὔπω μοι τῆς λύπης ὑφῆκας· αὐτὸς ἐν πολλοῖς ἡλίοις ἐφύλαξας. ἥλιος καὶ ὁ δωδεκάμηνος καιρός, ὅτι διὰ δώδεκα μηνῶν διέρχεται τὸν ἑαυτοῦ κύκλον ὁ ἥλιος.

Τὸ ἤτοι ποτὲ μὲν ἐστιν ἐπίρρημα διασαφητικὸν ἀντὶ τοῦ ἤγουν, ἐν ἄλλοις δὲ καὶ σύνδεσμός ἐστι, παρὰ μὲν τοῖς ποιηταῖς συμπλεκτικός, ὁ αὐτὸς τῷ μέν, τούτῳ μόνον διαφέρων αὐτοῦ, ὅτι ἐκεῖνος μὲν ὑποτάσσεται, οὗτος δὲ προτάσσεται, οἷον·

ἤτοι ὅγ᾽ ὡς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο·

ἀνταποδοτικὸς δέ ἐστιν αὐτοῦ ὁ αὐτάρ, ὅς καὶ ἀτὰρ λέγεται, ὥσπερ ὁ δὲ τοῦ μέν, τούτῳ καὶ οὗτος διαφέρων τοῦ δέ, ᾧπερ ὁ ἤτοι τοῦ μέν, τἄλλα δὲ ὁ αὐτός· παρὰ δὲ τοῖς Ἀττικοῖς τὸ ἤτοι σύνδεσμός ἐστι διαζευτικὸς ἀντὶ τοῦ ἤ, τοῦ τοί παραπληρωματικοῦ προσλαμβανομένου παρ᾽ αὐτοῖς ἐνταῦθα, ὥσπερ τοῦ γέ ἐν τῷ ἔγωγε καὶ ἄλλου ἐν ἄλλοις δι᾽ ἔπαρσιν τοῦ λόγου καὶ ὄγκον. σημείωσαι δέ, ὡς καταρχὰς μὲν τὸ ἤτοι τίθεται ἀεί, ὕστερον δὲ τὸ ἤ· οὕτω γάρ φαμεν· ἤτοι τόδε, ἢ τόδε. ἑτέρως δὲ οὐκ ἂν ποτε εὕροις πλὴν ἐν Πινδάρῳ ἅπαξ διὰ τὴν ἀνάγκην τοῦ μέτρου.

## Θ.

Θαρρῶ Ἀττικοί, οὐ θαρσῶ· καὶ θάρρος, οὐ θάρσος· καὶ θαρρύνω, οὐ θαρσύνω. ὅπερ θαρρῶ, εἰ μὲν ἀντὶ τοῦ ἐλπίζω ἐστί, δοτικῇ συντάσσεται, εἰ δὲ ἀντὶ τοῦ τολμῶ, αἰτιατικῇ. Συνέσιος ἐν ἐπιστολῇ· καὶ οὓς ἔδει θαρρῆσαι

Θρυδακίνη, οὐ θρίδαξ.

Θημών, οὐ θημωνία.

Θεσμὸς ὁ ἄγραφος (νόμος), νόμος δὲ ὁ ἔγγραφος.

Θέρεται, οὐ θερμαίνεται.

Θρυαλίς, οὐκ ἐλλύχνιον.

Θαμά, οὐ πυκνῶς. Ἡσίοδος·

καὶ θαμὰ τοῦθ' ἕρδοις.

θαμινά, οὐ πυκνά. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἀλλ' εἶα τέκεα θαμίν' ἐπαναβοῶντες.

Θαλῆς Θαλοῦ, οὐ Θάλης Θάλητος.

Θοἰμάτιον κάλλιον ἢ τὸ ἱμάτιον διαλελυμένως.

Θᾶττον Ἀττικοί, τάχιον Ἕλληνες. ἔστι δὲ οὐ μόνον ἐπίρρημα, ἀλλὰ καὶ ὄνομα τριγενές, ὁ θάττων ἡ θάττων καὶ τὸ θᾶττον· ὥσπερ καὶ ἐπὶ τοῦ ῥᾷον.

Καὶ θηλὴ καὶ μαστός.

Θὴς Ἀττικοί, οὐ μισθαρνός· καὶ θητεύει, οὐ μισθαρνεῖ. Πλάττων ἐν Εὐθύφρονι· ὡς ἐγεωργοῦμεν ἐν τῇ Νάξῳ, ἐθήτευεν ἐκεῖ παρ' ἡμῖν καὶ θῆσσα, οὐ θῆττα.

Θήρατρον, οὐ παγίς.(γράφεται ἀντὶ τούτου πάγη, ἢ πληθυντικῶς τοὺς πάγας κάλλιον.)

Θεῷ οὐ θέα, εἰ καί τινες γράφουσιν. Ἀριστοφάνης ἐν βατράχοις·

ἀφειμένην τὴν λαμπάδα θεῷ.

Θᾶκος Ἀττικόν, θρόνος Ἑλληνικόν, θῶκος δὲ ποιητικόν. Ἀριστείδης ἐν τῷ εἰς τὸν Διόνυσον· οὐδ' αὐτῷ θᾶκοι τούτου χωρίς.

Θηλάζει τὸ θῆλυ μεταβατικῶς, ἃ ἔτεκε· καὶ θηλάζουσι τὰ τεχθέντα ἀμεταβάτως.

Τὸ θάλλειν ἐπὶ δένδρων λέγεται, τὸ δὲ ἀνθεῖν ἐπὶ μόνων τῶν ἀνθέων· ὅθεν εὐθαλεῖς μὲν κλάδοι, εὐανθεῖς δὲ λειμῶνες.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Θλᾶσις καὶ θλᾶν ἐπὶ τῶν χαυνουμένων καὶ παραλυομένων τῆς ἑαυτῶν συμπήξεως ἀπὸ πληγῆς ἢ τοιούτου τινός, ὃ παρὰ τοῖς ποιηταῖς φλᾶν λέγεται, οὐκέτι δὲ καὶ ὄνομα φλάσις.

Θεήλατον τὸ θεόθεν ἐλθόν· λέγεται δὲ ἀεὶ ἐπὶ κακοῦ, οἷον θεήλατος πληγή. εἰ δὲ εὕρηταί που ἀντὶ τοῦ ὑπὸ θεοῦ ἐλαθεὶς καὶ ἀποδιωχθείς, ἀλλ' οὐκ ἔστιν Ἑλληνικόν.

Θέσθαι τὸ θεῖναι καὶ τὸ ἀρεσθῆναι, ὡς τὸ τούτοις ἐθέμην ἀντὶ τοῦ ἠρέσθην καὶ συνῄνεσα. ὑποθέσθαι δὲ τό τε δοῦναί τι εἰς ὑποθήκην καὶ τὸ συμβουλεῦσαι καὶ τὸ ὡς ὁμολογούμενον θεῖναί τι τῶν δυναμένων γενέσθαι. ὡς τὸ ὑπόθου, ὅτι ὁ Σωκράτης καθεύδει. εἰ γὰρ καὶ μὴ καθεύδει, ἀλλὰ δυνατὸς ἐστὶ καθεύδειν.

Θύειν ἐπὶ τῶν σφαττομένων ἱερείων, σφάττεσθαι δὲ ἐπὶ τοῦ τυχόντος ζώου. καὶ θύεται οὐ μόνον ἀντὶ τοῦ σφάττεται, ἀλλὰ καὶ ἀντὶ τοῦ θύει. Θουκυδίδης ἐν τῇ πέμπτῃ· περὶ τὸ ἱερὸν τῆς Ἀθήνας θυομένοι καὶ αὖθις ἐν τῇ αὐτῇ· τὰ διαβατήρια θυομένοις οἱ προὐχώρει.

Θόρυβος οὐ μόνον ἐπὶ ὄχλου, ἀλλὰ καὶ ἐπὶ μεγίστου ἐπαίνου· ὡσαύτως καὶ θορυβῶ. Ἀριστείδης ἐν τῇ εἰς Σμήρναν μονῳδίᾳ· (ποῦ) νέων καὶ πρεσβυτέρων σύνοδοι καὶ θόρυβοι διδόντων ἅπαντα. (Συνέσιος ἐν τῷ Δίων ἢ περὶ τῆς κατ' αὐτὸν διαγωγῆς· βούλοιτο γὰρ ἂν ὁ διδάσκαλος ἀνὴρ εὐδοκιμεῖν ἐν τοῖς μαθηταῖς, καὶ θορυβεῖν ἐπὶ τοῖς λόγοις αὐτοῦ καὶ τὰ παιδάρια.)

Θερμότης καὶ θέρμη Ἀττικοί, θερμασία Ἕλληνες

Θῆλυ θήλεος, καὶ ὁ θῆλυς τοῦ θήλεος. οἷον ὁ θῆλυς ἀετός. λέγεται δὲ θῆλυς καὶ ὁ θηλυδρίας· καὶ ἡ θῆλυς δὲ παρ' Εὐριπίδῃ καὶ ἡ θήλεια πρὸς τούτοις

Θυμέλην οἱ ἀρχαῖοι ἀντὶ τοῦ θυσίαν ἐτίθουν, οἱ δ' ὕστερον ἐπὶ τοῦ τόπου τοῦ ἐν τῷ θεάτρῳ, ἐφ' ᾧ αὐληταὶ καὶ κιθαρῳδοὶ καὶ ἄλλοι τινὲς ἀγωνίζονται μουσικήν. ἄλλοι δὲ εἶδος μουσικῆς τὴν θυμέλην λέγουσι.

Θαρσεῖα ἐλπὶς ἡ ὁμολογουμένη καὶ ἀναμφίβολος. Θουκυδίδης· ἐλπὶς θαρσεῖα τοῦ μέλλοντος.

Θεράπων καὶ θεραπαινὶς καὶ θεραπαινίδιον, καὶ οἰκέτης, καὶ παῖς καὶ παιδάριον λέγε.

Θριάσιον πεδίον τι ἐν τῇ 'Αττικῇ· ἐκλήθη δὲ ἀπὸ τῶν βληθεισῶν ἐν αὐτῷ θριῶν ὑπ' 'Αθηνᾶς, θριαὶ δὲ αἱ μαντικαὶ ψῆφοι.

Θεοπρόπους ἐκάλουν τοὺς δι' εὐλάβειαν πεμπομένους εἰς τὸ μαντεῖον, ἐφῷ δέξασθαι μαντείαν ὡς τῷ θεῷ πρέποντας καὶ ἁρμόζοντας διὰ τὴν προσοῦσαν ἐπιείκειαν. Αἰσχύλος ἐν Προμηθεῖ·

ἔς τε Πυθὼ κἀπὶ Δωδώνης συχνοὺς θεοπρόπους ἴαλεν.

καὶ θεοπρόπιον τὸ τούτοις διδόμενον μάντευμα· θεοπρόπιον δὲ τὸν μάντιν οὐδεὶς τῶν ἀρχαίων εἶπεν.

Θεατὴς (κυρίως) ἐπὶ ἀγῶνος· θεωρὸς δὲ ὁ τὴν θυσίαν ἀπάγων εἰς τὸ ἱερὸν πρὸς τὸ θῦσαι καὶ θεραπεῦσαι τὸν θεόν. 'Αριστείδης· τῶν θεωρῶν ἡκόντων καὶ τεθυκότων· ἑκάστου ἔτους θεωρίαν ἀπάξειν εἰς Δῆλον. ὅθεν καὶ αἱ ὁδοί, δι' ὧν ἐπορεύοντο οἱ θεωροί, θεωρίδες κέλευθοι ἐκαλοῦντο, καὶ θεωρὶς ἡ ναῦς ἡ ἀπάγουσα 'Αθήνηθεν εἰς Δῆλον τῷ 'Απόλλωνι θυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σίαν. καταχρηστικῶς δὲ καὶ τὴν τοῦ Χάροντος ναῦν θεωρίδα Αἰσχύλος λέγει ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

ναύστολον μελάγκροκον θεωρίδα.

καὶ θεωρὸς ὁ ἐπὶ τῇ τοιαύτῃ θυσίᾳ ἐπιθειάζων ἱερεύς. λέγεται δε θεωρία καὶ ἡ περὶ τὸν θεὸν σχολὴ καὶ διηνεκὴς αὐτοῦ φαντασία. καὶ θεωρία ἡ πράγματός τινος κατανόησις, καθά φησιν ὁ θεολόγος Γρηγόριος· θεωρία γὰρ ἦν τὸ φυτόν, ὡς ἡ ἐμὴ θεωρία. καὶ θεωρία ἡ ἐν τῷ θεάτρῳ θέα, καὶ αὐτὸς ὁ ἀγών. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ὥσπερ ἐν θεωρίᾳ πάντα εἰς ἅμιλλαν κατέστη. (καταχρηστικῶς δὲ καὶ ἡ πανήγυρις. ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· προσαγαγεῖν δ' αὐτὴν κομίσασα ἡ μήτηρ ὡς εἰς θεωρίαν πέμπουσα.) θέα μέντοι οὐ μόνον ἡ θεωρία τινὸς πράγματος, ἀλλὰ καὶ ὁ τόπος, ἐν ᾧ καθήμενοι ἐθεώρουν τὰ ἐν τῷ θεάτρῳ τελούμενα. ὁ αὐτὸς ἐν τῷ αὐτῷ· οἱ μὲν γὰρ ἄλλοι καθάπερ θέαν καταλαβόντες. καὶ ἅπαν τὸ θέατρον.

Θηρίκλειον εἶδος ἐκπτώματος ἀπό τινος Θηρικλέους τοῦ πρώτου εὑρόντος τοῦτο, ὥς φησιν Εὔβουλος· καθαρώτερον δὲ τῶν κεράμων εἰργάσμην ἡ Θηρικλῆς τὰ ἐκπτώματα.

Θερίζω καὶ ἐνθερίζω ἀμεταβάτως τὸ θέρος που διάγω· θερίζω δὲ μεταβατικῶς τὸ λήιον τέμνω.

Θυρέος παρὰ μὲν τοῖς πολλοῖς ἡ ἀσπίς, παρὰ δὲ Ὁμήρῳ καὶ τοῖς (λοιποῖς) ἀρίστοις λίθος μέγας τὴν τῆς θύρας χρείαν παρέχων. (καὶ) Συνέσιος ἐν ἐπιστολῇ τῇ Ὀδυσσεὺς ἔπειθε τὸν Πολύφημον· μόνον ὑπόστηθι σὺ τὴν θύραν ἀποκινῆσαι, μᾶλλον δὲ τὸν θυρεὸν τοῦτον.

Θεμέλιος οἱ κοινοί· τὸ θεμέλιον οὐδετέρως οἱ Ἀττικοί.

Θύωμα οἱ δοκιμώτατοι. οὐ θυμίαμα. Ἀριστείδης ἐν τετάρτῳ τῶν ἱερῶν· ἀπολαύειν εὐωδίας θαυμαστῆς θυωμάτων. Ἡρόδοτος λιβανωτοῦ καὶ σμύρνης καὶ τῶν ἄλλων θυωμάτων.

Θεραπεία καὶ ἡ δουλεία καὶ τὸ τῶν θεραπόντων ἄθροισμα. ὁ αὐτὸς Ἀριστείδης ἐν πέμπτῳ τῶν ἱερῶν· θεραπεία τε οὐ παρῆν διὰ τὸ προεκπέμψαι.

Θέρμος οὐ θέρμιον Λουκιανὸς ἐν τοῖς νεκρικοῖς· θέρμους εἰ θέλεις.

Θηρᾶν καὶ θηρᾶσθαι ἐπὶ ἐνεργητικῆς καὶ παθητικῆς σημασίας, καὶ θηρατὴς λέγε· ἢ θηρεύειν καὶ θηρεύεσθαι. καὶ θηρευτής.

Θύλακος καὶ θυλάκιον λέγε, ὡς τὸ παῖε, παῖε τὸν Ἀναξάρχου θύλακον. καὶ Συνέσιος ἐν ἐπιστολῇ· οὐ θυλακίου τῶν κρεϋλλίων· οὐκ ἀσκός. ἀσκώματα δὲ πληθυντικῶς τὰ δέρματα. Ἀριστοφάνης ἐν Βατράχοις·

ἀσκώματα καὶ λίνα καὶ πίτταν διαπέμπων
εἰς Ἐπίδαυρον.

## I

Ἰλὺς μὴ εἴπῃς ἐπὶ οἴνου, ἀλλ' ἐπὶ ποταμοῦ· ἐπὶ δὲ οἴνου τρύξ, ἥν τινες ὑποστάθμην καὶ ὑπόστασιν λέγουσιν.

Ἐξιδιάζονται Φαβαρῖνος λέγει, σὺ δὲ (ἐξ)ιδιοῦνται.

Τὰ ἴδια πράττω καὶ τὰ ἴδια πρᾶττε καὶ τὰ ἴδια πραττέτω μὴ λέγε. ἀλλὰ τἀμαυτοῦ πράττω καὶ τὰ

σαυτοῦ πρᾶττε καὶ τὰ αὑτοῦ πραττέτω· οὕτω γὰρ οἱ Ἀττικοὶ λέγουσιν.

Ἱέρεια ἀπὸ τοῦ ἱερεύς. ὥσπερ ἀπὸ τοῦ Ὀδυσσεὺς Ὀδύσσεια παρώνυμόν ἐστιν. οἱ δὲ λέγοντες ἀπὸ τοῦ ἱερεύω ῥήματος τοῦτο γίνεσθαι καὶ διὰ τοῦτο παροξυτόνως ἀξιοῦντες ἱερεία λέγεσθαι ὡς ἀριστεία, ἰατρεία, οὐκ ἴσασιν, ὅτι τὸ μὲν ἀριστεία, ὃ δηλοῖ τὴν ἀνδραγαθίαν, καὶ τὸ ἰατρεία, ὃ δηλοῖ τὴν ἰάτρευσιν, ἔργου εἰσὶ δηλωτικά, τὸ δὲ ἱέρεια οὐκ ἔργον δηλοῖ· ἱερατεία γὰρ τὸ ἔργον· ὥστε οὐκ ἀπὸ τοῦ ἱερεύω γίνεται ἱέρεια, ἀλλ' ἀπὸ τοῦ ἱερεύς, ὡς ἔφημεν.

Ἴκτινος, οὐκ ἰκτῖνος· ἔστι δὲ εἶδος ἀετοῦ.

Ἱμονιά, οὐκ ἀντλητήριον.

Ἴσχειν κάλλιον ἢ ἔχειν.

Ἰσοτελῆ ἐκάλουν τὸν τῶν νόμων καὶ πάντων τῶν πραττομένων μετέχοντα ξένον οἱ παλαιοὶ πλὴν ἀρχῆς.

Ἰσότης, οὐκ ἰσοτὴς ὡς βραδυτὴς καὶ ταχυτής· ἐπὶ δὲ ἀρσενικοῦ Ἀττικοὶ μὲν ἰσώτης λέγουσιν ὡς ἀρότης, οἱ δὲ ἁπλῶς ἰσωτὴς ὡς βραβευτής.

Ἰδιόξενος ὁ μὴ δημοσίᾳ προσκείμενος πόλει τινί, ἀλλ' ἰδίᾳ τινὶ τῶν τῆς πόλεως· πρόξενος δὲ ὁ κοινῇ τῆς πόλεως φίλος. Λουκιανὸς ἐν τῷ Φάλαρις πρῶτος· οὔτε Ἀκραγαντίνων, ὦ Δελφοί, πρόξενος ὢν (ὁ Ἀπόλλων) οὔτε ἰδιόξενος αὐτοῦ Φαλαρίδος. δορύξενος δὲ ὁ κατὰ πόλεμον γενόμενος φίλος. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ· ὁ γὰρ

μέγιστος αὐτοῖς τυγχάνει δορυξένων.

Ἰσηγορία, οὐκ ἰσολογία.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἱστάναι, οὐχ ἱστάνειν.

Ἰλυσπώμενος, οὐχ εἰλούμενος.

Ἴσασιν, οὐκ οἴδασιν.

Ἵνα ὦσι λέγε, οὐχ ἵνα ἔσονται· πάνυ γὰρ ἀμαθὲς ἐπὶ τοῦ μέλλοντος ἵνα ἢ ἐάν ἢ ἂν ἢ ἣν ἢ ὅταν τιθέναι.

Καὶ ἱερεύεσθαι καὶ (καθ)ιερεύεσθαι ἐπὶ τῶν θυομένων ἱερείων· ἱερᾶσθαι δὲ μόνον ἐπὶ των εἰς ἱερέας τελούντων, ἱερῶσαι μέντοι καὶ καθιερῶσαι ἐπὶ τῶν ἀναθημάτων.

Ἱστορῶ τὸ πολὺν τόπον διέρχομαι· καὶ ἱστορῶ τὸ παλαιὰ πράγματα ἀφηγοῦμαι· καὶ ἱστορῶ ποιητικῶς τὸ ἐρωτῶ.

Αἰσχύλος ἐν Προμηθεῖ·

ἱστόρει τί σοι φίλον.

καὶ ἱστορῶ τὸ ζητῶ. Εὐριπίδης ἐν Ὀρέστῃ·

ὅδ' εἴμ' Ὀρέστης, ὅντιν' ἱστορεῖς,

ἤγουν ζητεῖς ἢ βλέπεις· ἀμφότερα γὰρ ἐπὶ τούτου νοεῖται.

Καὶ ἱκεσία καὶ ἱκέτευμα. Θουκυδίδης· μέγιστον ἦν ἱκέτευμα τοῦτο.

Ὥσπερ ἀπὸ τοῦ ἴσου φαμέν, οὕτω καὶ ἀπὸ τῆς ἴσης, οἷον ἀπὸ τῆς ἴσης τὸν δεῖνα φιλῶ, καὶ ἀπὸ τῆς ἴσης ἐχθρός εἰμι.

Ἱδρύθη, οὐχ ἱδρύνθη. Θουκυδίδης· καὶ αὐτοῦ συλλεγεὶς ἱδρύθη. καὶ πάλιν· τὸ ἐν τῇ κεφαλῇ πρῶτον ἱδρυθὲν κακόν.

Ἰάλεμος οὐ μόνον ὁ θρῆνος, ἀλλὰ καὶ ὁ ψυχρὸς καὶ ἔκλυτος ἄνθρωπος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἴκταρ ἀντὶ τοῦ ἐγγύς. Αἰσχύλος·

ἴκταρ μελάθρων.

ὡς ἔχει τὸ τῆς παροιμίας, οὐδ' ἴκταρ βάλλει, ἐπὶ τῶν ἀποτυγχανόντων λεγόμενον ἐκ μεταφορᾶς τῶν τοξοτῶν τῶν οὐχ ὅπως τοῦ σκοποῦ τυγχανόντων, ἀλλ' οὐδ' ἐγγὺς βαλλόντων.

Ἰδοῦ Ἀττικοὶ λέγουσιν, οὐκ ἴδε. Εὐριπίδης ἐν Ἑκάβῃ·

ἰδοῦ μεκἀνθάρησον οἷ' ἔχω κακά.

Πέτομαι οὐχ ἵπταμαι. (καὶ Λιβάνιος ἐν τῇ Οἶδ' ὅτι σε εὐφραίνει κῶμμα ἐμὸν ἐπιστολῇ· σὺ γὰρ ἐκεῖνος ὁ πετόμενος μέν, ὅπως ἂν ἡμῶν ἀκούσαις, πετόμενος δὲ αὖθις ὑπὸ τῶν λόγων ἐν τῷ συλλόγῳ.) ἔπτη δὲ καὶ ἀπέπτη.

Ἰατταταί ἀντὶ τοῦ φεῦ, καὶ ἰατατταιάξ.

Ἰδιαίτατον ἀπὸ τοῦ ἰδία, οὐκ ἰδιαίτερον δέ· ἀπὸ δὲ τοῦ ἴδιον καὶ ἰδιώτερον καὶ ἰδιώτατον. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· οὕτω δή τοι τό γε τοῦ Νείλου θειώτερόν τε καὶ ἰδιώτερον ἔοικεν εἶναι.

Ἰδέα ἡ μορφή. καὶ ἀπὸ τούτου ἰδέαι αἱ ὁδοὶ καὶ οἱ τρόποι. καὶ παρὰ Πλάτωνι ἰδέαι οἱ τύποι τῶν οὐσιῶν, ἀνθρωπότητος καὶ βοότητος καὶ τῶν ἄλλων. ἰδέαι καὶ παρὰ τοῖς ῥήτορσιν αἱ τῶν λόγων μορφαὶ καὶ ποιότητες, δεινότης, γλυκύτης, εὐκρίνεια καὶ τ' ἄλλα. σημείωσαι δὲ, ὡς οὐδεὶς τῶν δοκιμωτάτων ἰδέαν ἐπὶ ἀνθρώπου λέγει, ἀλλὰ εἶδος καὶ ὄψιν, οἷον ἀγαθὸς τὸ εἶδος, καὶ ἀγαθὸς τὴν ὄψιν. Ἀριστείδης δὲ ἐν τῇ εἰς Σμύρναν μονῳδίᾳ καὶ ἰδέαν ἐπὶ πόλεως λέγει· οἵαν ἰδέαν πόλεως ἐξευρὼν καὶ τεχνησάμενος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἱππασία λογοποιοὶ, ἱπποσύνη δὲ ποιηταί.

Ἰάμβων ἐργάτης λέγε, μὴ στιχουργὸς μηδὲ στιχιστὴς μηδὲ στιχοπλόκος. ὅταν δὲ οὐκ ἰάμβους γράφῃ τις, ἀλλ' ἕτερά τινα μέτρα, τότε λέγοιτ' ἂν ὁ τοιοῦτος ποιητικὸς καὶ ἐπῶν ἐργάτης καὶ ἐποποιὸς καὶ ὅσα τοιαῦτα.

Ἰσχύω οὐ μόνον τὸ ἰσχυρός εἰμι, ἀλλὰ καὶ τὸ ἰσχυρὸν ἕτερον ποιῶ. Ἀριστείδης ἐν Λευκτρικῷ δευτέρῳ· οὓς αὐτοὶ καθ' ὑμῶν αὐτῶν καὶ κατὰ τῶν ἄλλων ἰσχύσατε.

Ἵστημι τόδε κινούμενον, καὶ ἵστημι τόδε ἀντὶ τοῦ ζυγοστατῶ. Λουκιανὸς ἐν τῷ τοῦ Δημώνακτος βίῳ· στῆσον, ἔφη, τὸν σποδόν.

Τὸ ἰὼν καὶ ἰέναι καὶ ἐπὶ τῶν τριῶν χρόνων εὕρηται, ὡς Πλάτων ἐν Φαίδωνι· ἐπὶ μὲν ἐνεστῶτος· ἀεὶ ἀνάπλεα τοῦ σώματος ἐξιέναι. ἐπὶ δὲ παρῳχημένου καὶ μέλλοντος· ὥστε μοι παρίστασθαι ἐκεῖνον, μήδ' εἰς Ἅιδου ἰόντα ἄνευ θείας μοίρας ἰέναι, ἀλλὰ καὶ ἐκεῖσε ἀφικόμενον εὖ πράξειν. ἐνταῦθα γὰρ τὸ μὲν ἰόντα παρῳχημένως, τὸ δὲ ἰέναι μέλλων, ἐπειδὴ καὶ τὸ ἐπαγόμενον τὸ εὖ πράξειν. τὸ δὲ ἄπειμι καὶ δίειμι καὶ τὰ τοιαῦτα ἐπὶ ἐνεστῶτος μόνον καὶ μέλλοντος· ἐπὶ δὲ παρῳχημένου ἀπῄειν καὶ διῄειν. τὸ δὲ ἴθι ὡς ἐπιτοπλεῖστον μὲν ἐπὶ παρῳχημένου ἀντὶ τοῦ ἐλθέ· εὑρίσκεται δὲ καὶ ἐπὶ ἐνεστῶτος ἀντὶ τοῦ ἔρχου. Πλάτων ἐν πρώτῳ τῶν πολιτειῶν· ἀλλὰ τοῖσδέ τε τοῖς νεανίαις ξύνιθι καὶ δεῦρο παρ' ἡμᾶς φοίτα.

## Κ.

Κοινωσάμενος, οὐ κοινώσας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κρέως Ἀττικοί, οὐ κρέατος.

Κατάβα, οὐ κατάβηθι. Ἀριστοφάνης ἐν βατράχοις·

**κατάβα, πανοῦργε.**

Κατεαγέναι καὶ καταγῆναι καὶ κατάξαι. Πλάτων ἐν Γοργίᾳ· κἂν τινα δόξῃ μοι τῆς κεφαλῆς αὐτῶν κατεαγέναι δεῖν, κατεαγὼς ἔσται αὐτίκα. οὐ κατεαγῆναι οὐδὲ κατεάξαι, βάρβαρα γὰρ ἀμφότερα. ἀποβάλλειν γὰρ ** ὀφείλει τὸ ἀπαρέμφατον, ἐπεὶ τὸ κατέαξα αὔξησις οὖσα πρῶτον, κατῆξα γὰρ ἦν, κατὰ (τὴν) Ἀττικὴν διάλυσιν κατέαξα γεγονεν. ἴσμεν δέ, ὡς αἱ μετοχαὶ καὶ τὰ ἀπερέμφατα καὶ τὰ ὑποτακτικὰ τοῦ ἀορίστου καὶ ὅσα τοιαῦτα ἀποβάλλουσι τὰς αὐξήσεις· ἔτυψα γὰρ τύψας, καὶ ἔτυπον τυπὼν λέγομεν· μόνου δὲ τοῦ παρακειμένου (καὶ τοῦ παθητικοῦ καὶ τοῦ μέσου) αἱ αὐξήσεις καὶ ἐν τοῖς λοιποῖς χρόνοις τηροῦνται· κατέαγα γὰρ καὶ κατεαγὼς καὶ τἆλλα, ὥστε καὶ ἐν εὐαγγελίῳ κατεάγωσι δεῖ λέγειν ὡς τετύπωσιν, οὐ κατεαγῶσι. τοῦτο γὰρ ὡς ἐδείξαμεν βάρβαρον·(ὡς ἴονταί τινες κανονίζοντες τοῦτο ἀπο τοῦ κατεάγην παθητικοῦ ἀορίστου· ἐκεῖνος γὰρ ἀποβάλλει τὴν αὔξησιν ἐν τοῖς ὑποτακτικοῖς καὶ τοῖς ἄλλοις, ὡς ἔφημεν.) ἰστέον δὲ ὅτι κατέαγα τῆς κεφαλῆς Ἀττικοὶ λέγουσιν, οὐ τὴν κεφαλήν ἤγουν κατὰ τῆς κεφαλῆς τὴν πληγὴν ἐδεξάμην. Λουκιανὸς ἐν Τίμωνι· κατέαγα τοῦ κρανίου.

Κολοκύντη, οὐ κολόκυνθα. Ἀριστοφάνης ἐν νεφέλαις·

εἰ μὴ λημᾷς κολοκύνταις.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κεντεῖ, οὐ κεντᾷ. Σοφοκλῆς·

κεντεῖτε, μὴ φείδεσθαι πανδήμου στρατοῦ.

καὶ Λιβάνιος ἐν μελέτῃ τῇ περὶ τῆς λάλου· καὶ **κεντοῦμαι τοῖς φληνάφοις.**

Κονδυλίζω καὶ κονδυλισμὸς καὶ κόνδυλος. Λιβάνιος ἐν τῇ αὐτῇ· πρὸς ἀνάμνησιν ἑαυτὴν κονδυλίζει. τὸ δὲ κολαφίζειν καὶ κολαφισμὸς καὶ κόλαφος ἀνάττικα.

Κουφότης καὶ κουφοτὴς Ἀττικόν, ὡς βραδυτής.

Κερασὸς τὸ δένδρον, κέρασος ὁ καρπός.

Κλαδᾶν τὰς ἀμπέλους, οὐχὶ κλαδεύειν.

Κάθοδος Ἀττικόν, ἐπάνοδος δὲ Ἑλληνικόν. Συνέσιος ἐν ἐπιστολῇ τῇ Ἴθι παρὰ τὴν μητέρα τὴν ἐκκλησίαν, ἀδελφὲ Κύριλλε· αὐτὸν (οὖν) ἐκεῖνον (τὸν ὅσιον ἱερέα) νόμιζέ σοι δεδωκέναι τὴν κάθοδον. λέγεται δὲ κάθοδος καὶ ἐπὶ τῆς καταβάσεως. Λουκιανὸς ἐν τῷ Μένιππος ἢ νεκυομαντεία· τίς ἡ ἐπίνοιά σου τῆς καθόδου ἐγένετο.

Καταλεχθεὶς κάλλιον ἢ καταλεγείς.

Κεραία πλοίου, οὐ κέρας· εἰ καὶ Συνέσιος ἐν ἐπιστολῇ τῇ Λύσαντες ἐκ Βενδιδείου τὸ κέρας ἐτετρίγει λέγει. Λουκιανὸς ἐν τῷ Ζεὺς τραγῳδός· τοὺ δὲ κατακολυμβῆσαί τε δεινὸν καὶ ἐπὶ τὴν κεραίαν ἀναπηδῆσαι ῥᾳδιον. κέρας μέντοι ἐπὶ ζώου καὶ ἐπὶ πολέμου. Θουκυδίδης ἐν τῇ τρίτῃ· περιέσχον τῷ κέρᾳ οἱ Πελοποννήσιοι.

Κόπτει τὴν θύραν ἔξωθεν καὶ γεύεται τῆς θύρας. Ἀριστοφάνης ἐν νεφέλαις·

τίς ἐσθ' ὁ κόψας τὴν θύραν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ πάλιν (ἐν τῷ αὐτῷ·)

γεῦσαι τῆς θύρας.

ψοφεῖ μέντοι ἔνδοθεν, οὐ κροτεῖ. ἔστι δὲ καὶ κόπτω τὸ τέμνω, ἐξ οὗ καὶ κόμμα καὶ κομμάτιον, καὶ τὸ χαράσσω, ἐξ οὗ κόμμα μόνον.

Κυκεῶ Ἀττικοί, οὐ κυκεῶνα.

Καθεδεῖται καὶ καθιεῖται κάλλιον λέγειν ἢ καθίσει.

Καθότι καὶ καθά τὸ δὲ καθὼς παρὰ τοῖς δοκίμοις οὐκ ἔστιν.

Κατεσκέδασέ τινος ἢ τινί τι. καὶ κατέχεεν ὡσαύτως.

Κατεδήδοκεν, οὐ καταβέβρωκε.

Καττίτερος, οὐ κασσίτερος. Ἀριστείδης ἐν τῷ κατὰ ἐξορχουμένων καὶ τὸ ξίφος ἀντὶ χαλκοῦ καττιτέρινον.

Καλιά, οὐ φωλεά.

Καταγλωττίσματα οἱ κομψοὶ λόγοι. Συνέσιος ἐν τῷ Δίωνι· Ἀττικῶν καταγλωτισμάτων. χρῶνται δὲ τούτῳ τινὲς καὶ ἐπὶ τῶν περιέργων καὶ ἀσέμνων φιλημάτων. (καὶ) Ἀριστοφάνης ἐν νεφέλαις·

μύρου, κρόκου, καταγλωττισμάτων.

Κύει κάλλιον ἢ κατὰ γαστρὸς ἔχει.

Κεραμεοῦν σκεῦος βέλτιον λέγειν ἢ ὀστράκινον.

Κεκραγμὸς Ἀττικοί, οὐ κραυγμὸς οὐδὲ κραυγασμός· ἀλλ' οὐδὲ κραυγή, βοὴ δέ.

Κηδεσταὶ καὶ οἱ διδόντες καὶ οἱ λαμβάνοντες κόρας, οὐ πενθεροὶ οὐδὲ γαμβροί. εὕρηται δὲ τοῦτο καὶ ἐπὶ τοῦ τῆς γυναικὸς ἀδελφοῦ παρ' Εὐριπίδῃ ἐν Ἑκάβῃ· φησὶ γάρ·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦτον εὖ δρῶν ὄντα κηδεστὴν σέθεν
εὖ δράσεις.

λέγει δὲ τοῦτο περὶ Πολυδώρου ἀδελφοῦ τῆς Κασσάνδρας ὄντος, ᾗ Ἀγαμέμνων ὡμίλει.

Κυρίττειν, οὐ κερατίζειν.

Κλεῖν, οὐ κλεῖδα. Λιβάνιος ἐν τῇ Δύσκολος ὤλισθε μελέτῃ· τὴν κλεῖν κατεάγειν.

Κλάειν καὶ κάειν Ἀττικά, κλαίειν δὲ καὶ καίειν κοινά. καὶ κλαύσομαι καὶ κλαήσομαι. Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας· καὶ τὰ παιδία κλαήσεται. (καὶ) Ἀριστοφάνης ἐν Πλούτῳ·

οὐκοῦν κλαύσεται.

Ὁ κάλως τοῦ κάλω, οὐχ ἡ κάλως (τῆς κάλω.) Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ὥσπερ κάλω ραγέντος ἀνεχώρησεν ὀπίσω. γράφεται δὲ καὶ καλώδιον. Συνέσιος ἐν τῇ Λύσαντες ἐκ Βενδιδείου ἐπιστολῇ· παρεῖχεν ἡμῖν κεχρῆσθαι τοῖς καλωδίοις.

Κάθησο κάλλιον ἢ κάθου, καὶ καθήμενος ἢ καθεζόμενος, καὶ καθῆστο ἢ ἐκάθητο. Ἀριστείδης· δικαστὴς αὐτὸς τῷ Περικλεῖ καθῆστο καὶ καθῆντο ἢ ἐκάθηντο· ὁ αὐτὸς ἐν τῷ Παναθηναϊκῷ· καθῆντο ἐκπεπληγμένοι. καὶ καθῆσθαι, οὐ καθεσθῆναι

Κνᾶσθαι τὸ οὖς, οὐ κνήθειν.

Καθήκοντα, καὶ τὰ πρέποντα καὶ τὰ κατερχόμενα. Ἀριστείδης ἐν τῷ αὐτῷ Παναθηναϊκῷ· τείχη καθήκοντά ποτε ἐπὶ θάλατταν.

Κουροπλάθος, οὐ κοροπλάστης.

Καὶ κηλῶ καὶ θέλγω ἀμφότερα.

Κατὰ χειρὸς ὕδωρ ἐδέξατο (λέγε) ἢ κατὰ χειρῶν.

Κόττινος, οὐκ ἀγριέλαιος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καταπροΐξεται, ἤγουν κατά τινος προαχθήσηται καὶ καταφρονήσει.

Καθεῖτο τὴν ὑπήνην (λέγε), οὐ μακρὰν εἶχε.

Κατέρχομαι, ὅταν εἰς τὴν πόλιν, ἀφ' ἧς ἐξῆλθον, ἐπανέλθω. Αἰσχύλος·

ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι.

Κατεκαύθη Ἀττικόν, κατεκάη Ἑλληνικόν.

Κίβδηλος τὸν τρόπον λέγε ἐκ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων, καὶ μὴ ἀδόκιμος.

Κατόπιν, οὐ κατόπισθεν. Πλάτων ἐν Γοργίᾳ· κατόπιν ἑορτῆς ἥκομεν.

Καὶ κωμῳδοποιὸς καὶ κωμῳδιοποιός.

Κατώρυκται κοινόν, κατορώρυκται Ἀττικόν.

Καταγώγιον καὶ κατάγεσθαι. ὡσαύτως καὶ καταλύειν· κατάλυμα δὲ οὐδεὶς εἶπε τῶν δοκίμων.

Καταγνὺς τὸ σκέλος κάλλιον λέγειν ἢ συντρίβων

Καθυφεὶς καὶ καθυφέσθαι, ἢ ἐνδοὺς καὶ ἐνδοῦναι Ἀριστοφάνης ἐν βατράχοις·

ὑφέσθαι μοι δοκεῖς.

Κολούει τὴν προθυμίαν κάλλιον (λέγειν) ἢ ἀμβλύνει.

Καταμικρὸν ἐγγίζει (λέγε,) οὐ πυσῶς. Συνέσιος ἐν ἐπιστολῇ (τῇ Τοὺς γεωμετρικοὺς ὅρους ἀληθεστάτους ἡγοῦ)· ἂν καταμικρὸν εἰς τὰς ἀποδείξεις αὐτῶν ἐκ γεωμετρίας τι συμπορίσωνται.

Κατηγορῶ οὐ μόνον ἐπὶ κακοῦ, ἀλλὰ καὶ ἐπὶ καλοῦ ποτε. Φιλόστρατος (ἐν τῷ Ἰσοκράτους βίῳ). εὐμουσίαν κατηγορεῖ τοῦ ἀνδρός, ἤγουν ἐπάνω αὐτοῦ ἀγορεύει· ἐνταῦθα γὰρ ἡ κατὰ τὴν ἐπάνω σχέσιν δηλοῖ, ὡς ἔχει καὶ ἡ παρὰ τοῖς φιλοσόφοις κα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τηγορία. εὕρηται δὲ ἀεὶ μὲν ἐνεργητικῶς, ἅπαξ δὲ καὶ παθητικῶς κατηγοροῦμαι ἀντὶ τοῦ κατηγορῶ. Πλάτων ἐν Γοργίᾳ· εἰ αὐτοῦ τις κατηγοροῖτο. ἰστέον δὲ ὅτι, ὅτε τίθεται ἐπὶ καλοῦ ἡ κατά, δεῖ καὶ προσθήκης τινὸς ὀνόματος, οἷον τῶν ἐπαίνων τῶν κατὰ σοῦ· ἀπὸ γὰρ τῶν ἐπαίνων δηλοῦται καὶ ἡ δύναμις τῆς κατά. οὕτω γὰρ εὑρίσκεται πανταχοῦ· ἐγκώμια κατὰ τοῦ δεῖνος διέξειμι καὶ λόγους ἡδίστους καὶ ἐπαίνους καὶ τοιαῦτά τινα. εἰ δὲ εἴποι τις ἐπὶ τῆς αὐτῆς σημασίας λόγους κατὰ τοῦ δεῖνος διέξειμι, οὐ καλῶς ἐρεῖ.

Κάλαμος ἐπὶ γραφίδος, οὐ δόναξ· τοῦτο γὰρ ἐπὶ τῶν εἰς ὀροφὰς καὶ αὐλοὺς συντελούντων καλάμων.

Καταπτύω σου· ἐμπτύω σοι δὲ οὐδεὶς τῶν δοκίμων.

Κόριον καὶ κορίδιον καὶ κορίσκη καὶ κόρη, οὐ κοράσιον,

Κακοδαιμονεῖν οἱ νόθως ἀττικίζοντες· οἱ δὲ γνησίως κακοδαιμονᾶν. καὶ θαυμάσαι ἄν τις, πῶς εὐδαιμονεῖν μὲν λέγουσιν, οὐκέτι δὲ καὶ κακοδαιμονεῖν.

Κόρημα χρὴ λέγειν, οὐχὶ σάρον οὐδὲ σάρωτρον· καὶ κορεῖν καὶ παρακορεῖν καὶ ἐκκορεῖν, ἀλλὰ μὴ σαροῦν. Συνέσιος ἐν ἐπιστολῇ τῇ Ὀδυσσεὺς ἔπειθε τὸν Πολύφημον· καὶ ἐκκορήσειάς (τε καὶ ἐκπληνεῖς καὶ ἐνθυμιάσειας) τὸ δωμάτιον.

Κυνίδιον, οὐ κυνάριον· εἰ καὶ Θεόπομπος ὁ κωμῳδὸς ἅπαξ τοῦτό φησιν. Λουκιανὸς ἐν τῇ θεῶν ἐκκλησίᾳ· τὸ ξύνηθες ἐκεῖνο καὶ ὅπερ ἠγάπα κυνίδιον.

Κρίβανος Ἀττικοί, οὐχὶ κλίβανος διὰ τοῦ λ, διὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ τὴν πρώτην (τῶν) ἀνθρώπων τροφὴν δοκεῖν κριθὰς εἶναι· ἀπὸ τοῦ κρῖ τὸ κριθάριον καὶ τοῦ βαῦνος τὸ πῦρ.

Καθιερῶσαι λέγε, ἀλλὰ μὴ ἀφιερῶσαι, ὡς Φαβωρῖνος.

Κόλλοπας ἐν τῇ λύρᾳ κάλλιον λέγειν ἢ κολλάβους.

Ἐκαθέσθην, καθεσθείς, καθεσθήσομαι καὶ καθεσθῆναι καὶ ὅσα ἀπὸ τούτων, βάρβαρα· λέγε οὖν καθέζομαι, ἐκαθεζόμην, καθεδοῦμαι, καθεδούμενος, καθεδεῖσθαι καὶ ὅσα ἀπὸ τούτων.

Καθίζω ἐγὼ καὶ καθίζομαι, καὶ καθίζω δὲ ἕτερον.

Κατ' ἐκεῖνο τοῦ καιροῦ βέλτιον λέγειν ἢ κατ' ἐκεῖνο καιροῦ· ἀεὶ γὰρ μετὰ τοῦ ἄρθρου. Θουκυδίδης λέγει.

Κατάδεσμος, οὐκ ἐπίδεσμος· ἐπίδεσμον δὲ οὐδετέρως καὶ ἐπίδεσμα οἱ ἀρχαῖοί φασιν.

Ὁ κόρις, οὐχ ἡ κόρις· (καὶ κλίνεται κόρεως.) τὸ δὲ κόριζα ἰδιωτικόν.

Κατὰ κοιλίας ποιεῖν οἱ γυμναστικοὶ λέγουσιν, οὐκ οἶδ ὅθεν λαβόντες· οἱ γὰρ παλαιοὶ τὴν γαστέρα ὑπάγειν λέγουσι.

Καρῆναι καὶ ἐκάρη κυρίως (οἱ) Ἀττικοὶ λέγουσιν ἐπὶ ἀνθρώπων τοῦτο κατακριθέντων, τὸ δὲ κείρασθαι οὐκ ἐπὶ ἀτίμου. (καὶ) Λιβάνιος ἐν ἐπιστολῇ τῇ Οἶμαι καὶ δάκρυσιν ὑπὸ σοῦ τετιμῆσθαι Καισάριον· τὴν μὲν γὰρ πόλιν καὶ δημοσίᾳ κείρασθαι νομίζω. τίθεται δὲ καὶ ἐπὶ προβάτων.

Κατωφερής τινες μὲν λέγουσιν ἐπὶ τῶν πρὸς ἀφροδίσια ἀκολάστων, οὐκ οἶδα ὅθεν λαβόντες· σὺ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ ἀκόλαστος λέγε καὶ δοῦλος τῶν ὑπὸ γαστέρα.

Κολλυβιστὴς ἐπὶ τοῦ ἀργυραμοιβοῦ φησιν ὁ Μένανδρος ἀδοκίμως· τὸ μὲν γὰρ κόλυβος (ὅπερ ἐστὶν εἶδος νομίσματος) δόκιμον, τὸ δὲ κολλυβιστὴς παρασεσημασμένον.

Κίλιξ ἀνήρ, Κίλισσα δὲ γυνή, ὥσπερ καὶ Λίβυς Λίβυσσα, Θρᾴξ Θρᾷσσα, Μάγνης Μάγνησσα, Κρὴς Κρῆσσα. Κὰρ ὁ ἀπὸ Καρίας ἀνὴρ (καὶ ὁ δοῦλος ἁπλῶς, διὰ τὸ τοὺς Κάρας πρώτους μισθοφορῆσαι·) Κάειρα δὲ γυνή. Ὅμηρος ἐν τετάρτῃ ῥαψῳδίᾳ·

γυνὴ— — Μῃονὶς ἠὲ Κάειρα.

Κατορθῶσαι ἐπὶ πολέμου καὶ τῶν τοιούτων· κατόρθωμα δὲ οὐκέτι, εἰ καὶ Ἀριστείδης ἅπαξ· ἀλλ' ἀντὶ τούτου κατωρθωμένον λέγε. Λιβάνιος ἐν τῇ τοῦ Νεοκλέους μελέτῃ· ἀποδιδῶσί μοι τὰ κατωρθωμένα τὸν υἱόν. ἐπανορθῶσαι δὲ ἐπὶ λόγων· ἅπαξ δὲ καὶ τὸ κατορθῶσαι ἐπὶ λόγων κεῖται. (Πλάτων ἐν πολιτείαις· καὶ δεῦρο ἰὼν ἐπηνωρθούμην.) τὸ τὲ διορθῶσαι ἐπὶ τῶν διαστρόφων.

Κῶμας τοὺς στενωποὺς, ἀφ' οὗ καὶ ἐγκώμιον. ἐγκώμιον δὲ καὶ ἔπαινος εἰς ἀνθρώπους λέγεται· καὶ ὁ μὲν ἔπαινος ἐν βραχεῖ λόγῳ, τὸ δὲ ἐγκώμιον καὶ ἐπὶ τοῦ ἁπλῶς βραχέος λόγου ἐγκώμιον ἔχοντος λέγεται καὶ ἐπὶ τοῦ κατὰ τέχνην ἐγκωμιαστικοῦ λόγου. ὕμνος δὲ ἐπὶ θεοῦ μόνου· τὸ δὲ ὑμνῶ καὶ ἐπὶ θεοῦ καὶ ἐπὶ ἀνθρώπου. Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

ὑμνεῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις,

Καταβολὴ ἡ ἔκτισις, καὶ καταβάλλω ῥῆμα, ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ κατέβαλε τἀργύριον· καὶ κατάθεσις καὶ κατατί-
θεμαι. καταβολὴ δὲ καὶ ἐπὶ νόσου. Ἀριστείδης
ἐν τῷ Παναθηναϊκῷ· ἐν καθαρῷ τῆς μεσημβρίας
ἐρρίγωσε τῆς καταβολῆς ἐπελθούσης.

Καταχύματα τὰ καταχεόμενα ὕδατα ἐπὶ το
λουτρῶνος καὶ τῶν ὁμοίων· καταχύσματα δὲ ι
κατὰ τῶν νεωνήτων δούλων καταχεόμεναι ἰσχάδε
καὶ τἄλλα τραγήματα, ὡς Ἀριστοφάνης ἐν Πλούτῳ
εἶτ' οὐχὶ δέξῃ ταῦτα τὰ καταχύσματα

Κάδδος τὸ ἀντλητήριον· καδδίσκος δὲ ἀγγεῖόν τι
ἐν ᾧ τὰς ψήφους ἔβαλλον.

Καθάρσια πόματα τὰ καθάρσεως ἕνεκα πινόμενα
καθάρματα δὲ τὰ μετὰ τὸ καθαρθῆναί τινα ἀπορ-
ριπτούμενα ῥυπάσματα. καθάρματα (δὲ) καὶ τὰ ἐς
ἀπαλλαγὴν ἐξαισίων κακῶν θυόμενα, ὅθεν καὶ κά-
θαρμα ὁ πάντων ἀηδέστατος· τοιοῦτον γάρ τινα ἐ-
πικειμένου λιμοῦ ἢ ἄλλου τινὸς κακοῦ ζητοῦντε
ἔθυον, καὶ εὐθὺς ἐπαύετο ταῦτα.

Καιρὸς μέρος χρόνου ἢ μεμετρημένων ἡμερῶν σύ-
στημα· χρόνος δέ πολλῶν καιρῶν περιοχὴ καὶ σύλ-
ληψις. ἄλλως τε ὁ μὲν καιρὸς δηλοῖ ποιότητα χρό-
νου, εἰ πόλεμος ἦν ἢ εἰρήνη, χρόνος δὲ ποσότητα
ὡς τὸ πρὸ δέκα χρόνων.

Κάλλαιά ἐστι τὰ τῶν ἀλεκτρυόνων· ἐπὶ δὲ τῶν
ἀνθέων κάλλη.

Κέδρος θηλυκῶς τὸ δένδρον· κέδρον δὲ οὐδετέρως
ὁ καρπός.

Κέλης ὁ μονόζυξ ἵππος, καὶ κέλης πλοιάριόν
ταῖς ναυσὶν ἐφελκόμενον, ὅπερ καὶ κελήτιον λέγ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ται. ἐπακτροκέλης δὲ κακοῦργον καὶ λῃστρικὸν σκάφος.

Κιβωτὸς καὶ κιβώτιον ἐκ ξύλου· κίστη δὲ ἡ πλεκτή.

Κόρδαξ αἰσχρά τις ὄρχησις, καὶ κορδακίζω· κάρδαξ δέ τις στρατιώτης βάρβαρος.

Κραιπάλη ἡ ἐκ τῆς χθὲς γενομένης οἰνοποσίας κάρωσις, μέθη δὲ ἡ ἐπὶ τῆς αὐτῆς ἡμέρας.

Κεφαλὴ ἐπὶ τῶν ζώντων, κρανίον δὲ καὶ ἐπὶ τῶν ζώντων καὶ ἐπὶ τῶν ἀποθανόντων, ὅταν ἐπιλιπουσῶν τῶν σαρκῶν τὸ ὀστοῦν καταλίπηται μονον. Λουκιανὸς ἐν Τίμωνι ἐπὶ ζώντων· κατέαγα τοῦ κρανίου. ὁ αὐτὸς ἐπὶ ἀποθανόντων· κρανία γυμνὰ τοῦ κάλλους ἰστέον δὲ ὡς κεφαλὴ καὶ κρανίον καὶ κορυφὴ μόνοι λογογράφοι, ποιηταὶ δὲ ἡ κρὰς καὶ τὸ κάρα· ἐπὶ θηλυκοῦ δὲ ἡ κάρα παρ' οὐδενὶ εὕρηται

Κόμη καὶ ἐπὶ ἀνθρώπου καὶ ἐπὶ φυτῶν· ὅθεν κομᾷ καὶ ἄνθρωπος ἤγουν κόμην τρέφει, καὶ κομᾷ καὶ τόπος ἤγουν φυτὰ ἔχει, καὶ κομᾷ δέ τις ἐν ἀγαθοῖς ἤγουν θάλλει καὶ εὐθηνεῖ· καὶ κομᾷ ἀντὶ τοῦ τρυφᾷ καὶ ἐπαίρεται. Ἀριστοφάνης ἐν Πλούτῳ·

μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτον
κομᾷ.

Τοῦ κύκλου τῶν ῥητόρων ὁ δεῖνά ἐστι δοκιμώτερον λέγειν ἢ τοῦ χοροῦ.

Καὶ κεκονιαμένος καὶ κεκονιμένος.

Κελεύω τὸ προστάσσω καὶ κελεύω τὸ ἁπλῶς λέγω. Λιβάνιος ἐν ἐπιστολῇ (Αὐτήν τε ταύτην ἐθρήνησα τὴν πόλιν·) κελευόντων ἢ ἀναγινώσκειν ἢ ὁμολογεῖν ἀδικεῖν. Συνέσιος ἐν ἐπιστολῇ τῇ Λυσαν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τες ἐκ Βενδιδείου· ἔρρωσο καὶ τὸν υἱὸν Διόσκορον κέλευε μετὰ τῆς μητρὸς (ἐρρῶσθαι καὶ τῆς τίτθης.)

Ὥσπερ συναινῶ φαμεν, οὕτω καὶ καταινῶ ἀντὶ τοῦ κατὰ πολὺ αἰνῶ καὶ ἀποδέχομαι καὶ τίθεμαι τοῖςδέ τισι. Θουκυδίδης· Ἀριστώνυμος δὲ τοῖς μὲν ἄλλοις κατῄνει.

Καὶ κομπάζω καὶ κομπέω κομπῶ καὶ κομποῦμαι. Σοφοκλῆς ἐν Αἴαντι·

μεγ᾽ ἄν τι κομπάσειας.

Θουκυδίδης ἐν τῇ ἕκτῃ· ὅσοι περ κομποῦνται, ἤγουν κομπαστικῶς λέγονται. καὶ αὖθις ἐν τῇ τετάρτῃ· ἄποθεν ἀπειλαῖς τὸ ἀνδρεῖον μελλήσει ἐπικομποῦσιν.

Οὐ μόνον ἐπὶ πολεμίων τὸ κατασκοπὴ τίθεται, ἀλλὰ καὶ ἐπὶ (τῆς) ἁπλῶς θεωρίας. Θουκυδίδης· ἐς τὴν κατασκοπὴν τῶν χρημάτων.

Καὶ κρύφα καὶ κρύβδην. Δημοσθένης· οὐ γὰρ εἰ κρύβδην ἐστὶν ἡ ψῆφος.

Κίναιδος ἀρσενικῶς ὁ πόρνος (Συνέσιος ἐν τῇ Ὥσπερ ἄλλοτε πολλάκις ἐπιστολῇ· καὶ λέγεταί τις αὐτοῖς μοῖρα κιναίδοις προσκεῖσθαι.) κίναδος δὲ οὐδετέρως ὁ ἀναιδὴς καὶ ἀναίσχυντος. Σοφοκλῆς ἐν Αἴαντι·

ἡ τοὐπίτριπτον κίναδος ἐξήρου μ᾽ ὅπου;

καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου· τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστι.

Κνέφαλον Ἀττικοὶ λέγουσιν, οὐ γνέφαλον· ἔστι δὲ ἡ τύλη.

Κρίνω καὶ τὸ δικάζω καὶ τὸ χωρίζω.

Κλέπτης καὶ ὁ κλέπτων καὶ ὁ δυνάμενος κλέπτειν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅπερ καὶ κλεπτικὸς λέγεται καὶ κλεπτίστατος ὑπερθετικῶς. (λαμβάνεται δὲ καὶ ἐπὶ τῶν πανούργων.) Ἀριστοφάνης ἐν Πλούτῳ·

τῶν ἐμῶν οἰκετῶν
πιστότατον ἡγοῦμαί σε καὶ κλεπτίστατον.

Καταπτάμενος, οὐ καταπτάς.

Κίρνημι Ἀττικοί, οὐ κιρνῶ.

Κορυφαῖον, οὐ κορυφαιότατον δεῖ λέγειν. οὐ γὰρ πρὸς τῇ ὑπερθέσει καὶ ἑτέραν ὑπέρθεσιν δεῖ ἐπάγειν, κἂν ὁ Λουκιανὸς παίζων λέγῃ· αὐτὸς γὰρ ἐν τῷ σολοικιστῇ τοῦτ᾽ ἐλέγχει.

Οὐ καθεῖς, ἀλλὰ καθεκαστος δεῖ λέγειν.

Ἄλλο κάθισον καὶ ἄλλο κάθησο. τὸ μὲν γὰρ κάθισον πρός τινα ἱστάμενον λέγεται, ἵνα δηλονότι καθίσῃ· τὸ δὲ κάθησο πρὸς καθήμενον, ἵνα κάθηται καὶ μὴ ἐξαναστῇ, ὡς τὸ παρ᾽ Ὁμήρῳ·

ἧσο ξεῖν᾽, ἡμεῖς δὲ καὶ ἄλλοθι δήομεν ἕδρην.

τὸ δὲ καθίζω οὐ μόνον ἀντὶ τοῦ ἕτερον ποιῶ καθίζειν ἀλλὰ καὶ ἐμαυτόν.

Κυκλέω κυκλῶ τὸ στρέφω, κυκλόω δὲ κυκλῶ τὸ περιλαμβάνω· κυκλοῦμαι δὲ καὶ τὸ περιλαμβάνω καὶ τὸ περιλαμβανομαι. Θουκυδίδης ἐν τῇ τετάρτῃ. περιέσχον τῷ κέρᾳ οἱ Πελοποννήσιοι καὶ ἐκυκλοῦντο τὸ δεξιὸν τῶν ἐναντίων. καὶ αὖθις ἐν τῇ πέμπτῃ· τὸ δεξιον τῶν Λακεδαιμονίων καὶ Τεγεατῶν ἐκυκλοῦτο τοὺς Ἀθηναίους.

Κύτος αὐτὴ ἡ κοιλότης καὶ διαχώρησις τοῦδέ τινος σκεύους.

Κύβος πᾶν τετράγωνον κατὰ βάθος καὶ κατὰ πλάτος ἰσάκις ἴσον· ὅθεν καὶ κύβοι λέγονται τὰ ἐ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στηγμένα ὀστᾶ, οἷς χρῶνται οἱ ταυλίζοντες.

Κύθηρα πόλις θηλυκῶς, καὶ οὐδετέρως τὰ Κύθηρα, ὃ καὶ κρεῖττον.

Κυρόω κυρῶ τὸ βεβαιῶ, κυρέω (δὲ) κυρῶ τὸ περιτυγχάνω, (ὅπερ μετὰ τῆς ἐν ἢ περὶ τίθεται·) τὸ δὲ ἀντὶ τοῦ ὑπάρχω ποιητικὸν, ὃ καὶ μετὰ ὑπαρκτικοῦ πάλιν ῥήματος τίθεται, οἷον κυρεῖ ὤν, ὥσπερ καὶ τυγχάνει ὤν.

Κυνηγέτης Ἀττικοὶ, κυνηγὸς δὲ ἁπλῶς Ἕλληνες.

Κυβιστῶ τὸ κολυμβῶ, καὶ κυβιστής· λέγεται δὲ κυβιστᾶν καὶ τὸ ἁπλῶς ἐν γῇ κυλιόμενον στρέφειν χεῖρας καὶ πόδας. κυβεύω δὲ τὸ κύβοις χρῶμαι. καὶ κυβευτὴς καὶ κυβιστής.

Κηρίον τὸ σὺν μέλιτι· Κηρὸς δὲ ὁ κεχωρισμένος τοῦ μέλιτος.

Κόρυδος καὶ Κορυδαλὸς καὶ κορυδαλὶς τὸ στρουθίον τὸ ἔχον ἐπὶ τῆς κεφαλῆς ἀνεστηκότα πτερὰ ὥσπερ λόφον. ἔστι δὲ τὸ μὲν κόρυδος Ἀττικόν· Πλούταρχος ἐν τῷ περὶ ἀδολεσχίας· κόρυδος ὦπται πετόμενος· τὸ δὲ κορυδαλὸς κοινόν, εἰ καὶ Εὔβουλος χρῆται. ἔστι δὲ καὶ Κορυδαλὸς δῆμος Ἀθήνῃσι. τὸ δὲ κορυδαλὶς ποιητικόν, ὡς Θεόκριτος·

ἐπιτυμβίδιοι κορυδαλίδες.

Κατασκευάζω τὸ ἐργάζομαι καὶ ποιῶ· λέγεται δὲ ἐπὶ τῶν ποικίλως συνισταμένων. καὶ ὄνομα ἐκ τούτου κατασκευὴ ἡ ἐνέργεια τῶν κατασκευαζόντων καὶ τὸ ἔργον τὸ κατασκευασθέν. λέγεται δὲ κατασκευὴ καὶ τὸ ῥητορικὸν προγύμνασμα, ᾧ ἐναντίον ἡ ἀνασκευή. καὶ κατασκευὴ ἡ αἰτία ἐπὶ λόγου. συσκευάζω δὲ τὸ σκαιωρῶ, ἀφ' οὗ καὶ συσκευή ἡ

σκαιωρία. μετασκευάζω τὸ μεταποιῶ. παρασκευάζω τὸ εὐτρεπίζω καὶ οἰκονομῶ, ὅθεν καὶ παρασκευή· διασκευάζω τὸ λεπτομερῶς διηγοῦμαι, καὶ διασκευὴ καὶ ἐνδιάσκευος λόγος. Κατασκευάζει ὁ ναυπηγὸς τὴν ναῦν, κατασκευάζεται δὲ ὁ ἐπὶ τῇ κατασκευῇ ταύτης τὰ ἀναλώματα διδούς. τοιοῦτόν ἐστι καὶ τὸ οἰκοδομεῖ καὶ τὸ οἰκοδομεῖται. οὕτω γὰρ Δημοσθένης περὶ Φιλίππου λέγει (ἐν τῷ περὶ Ἁλονήσου) ὅδ' οὐδὲν δεόμενος τριήρεις κατασκευάζεται καὶ νεωσοίκους οἰκοδομεῖται. καὶ Λιβάνιος· τί μαθών, ὦ βασιλεῦ, τὰς δυνάμεις συνέχεις καὶ ὅπλα κατασκευάζῃ;

Κλάσις ἐπὶ ὀστῶν ἢ τοιούτων τινῶν, καὶ τὸ κλᾶν ἐπὶ τούτων λέγεται· θραύειν δὲ καὶ συντρίβειν ἐπὶ ξηρῶν. ἔστι δὲ συντρίβειν κυρίως τὸ εἰς χνοῦν λεπτύνειν.

Καταθέω οὐ μόνον τὸ κατατρέχω, ἀλλὰ καὶ τὸ κατέρχομαι. Ἀριστείδης ἐν τῷ πανηγυρικῷ ἐν Κυζίκῳ περὶ τοῦ ναοῦ· αἱ δ' εἰς αὐτὴν καταθέουσί τε καὶ ἀναθέουσι.

Καιρὸς οὐ μόνον ἐπὶ χρόνου ἁπλῶς τίθεται, ἀλλὰ καὶ ἐπὶ τοῦ ἁρμοδίου καὶ πρέποντος, ὡς Εὐριπίδης ἐν Ὀρέστῃ·

ἃ δ' εἰς ἀδελφὴν καιρὸς ἐκπονεῖν ἐμέ.

καὶ Αἰσχίνης· οἱ δὲ λόγοι πρὸς τοὺς ἐφ' ἡμέραν καιροὺς λέγονται, ἤγουν πρὸς τὰ ἁρμόζοντα ἑκάστοτε καὶ πρέποντα. τινὲς δὲ ἐνταῦθα τὸ καιροὺς ἀντὶ τοῦ χρείας φασιν.

Καὶ κατάσχεσις καὶ κάθεξις. Θουκυδίδης ἐν τῇ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρίτῃ· καὶ τοῦτο πολλῷ ξυμφορώτερον ἡγοῦμαι ἐς τὴν κάθεξιν τῆς ἀρχῆς.

Καθίσταμαι ἄρχων ἤτοι γίνομαι, καὶ καθίσταμαι τὴν ἀρχὴν ἤτοι οἰκονομῶ. ὁ αὐτὸς ἐν τῇ τετάρτῃ τῶν πόλεων ἄρχοντας καθιστάναι, καὶ αὖθις ἐν τῇ αὐτῇ· ἅ τε εἶχε τῶν χωρίων καθίστατο.

Τὸ καταφρονῶ ὡς ἐπιτοπλεῖστον μὲν γενικῇ συντάσσεται· ἔστι δ' ὅπου καὶ αἰτιατικῇ, ὡς ὁ αὐτὸς ἐν τῇ ἕκτῃ· τὸ μὲν καταφρονεῖν τοὺς ἐπιόντας ἐν τῶν ἔργων τῇ ἀλκῇ δείκνυσθαι.

Οὐ μόνον κέκλεισμαι, ἀλλὰ καὶ κέκλειμαι ἄνευ τοῦ σ. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ καὶ ὑπὸ τῶν ὀρῶν συγκέκλειται.

Κληρονομῶ ὡς ἐπιτοπλεῖστον μὲν γενικῇ συντάσσεται, ἅπαξ καὶ αἰτιατικῇ. Ἀριστείδης ἐν Λευκτρικῷ πέμπτῳ· πῶς ἀλλοτρίων γε κακῶν ἄξιον κληρονομῆσαι. Λουκιανὸς ἐν τοῖς νεκρικοῖς· ὡς κληρονομήσαιμι τῆς βακτηρίας αὐτοῦ. ὁ αὐτὸς ἐν τοῖς αὐτοῖς· κληρονομεῖν ἀποθανόντος ἐμοῦ τὰ κτήματα.

Οὐ μόνον καταλύομαι (ἐγὼ) ὑπό τινος, ἀλλὰ καὶ καταλύομαι τὸν δεῖνα ἤγουν καταλύω. Θουκυδίδης ἐν τῇ ἕκτῃ· τὸν ἐκεῖ πόλεμον μήπω βεβαίως καταλελυμένους.

Κομίζομαι οὐ μόνον τὸ φέρομαι, ἀλλὰ καὶ τὸ ἀπολαμβάνω. Λιβάνιος ἐν ἐπιστολῇ· καὶ ἔδοξεν οὐ φαύλους κεκομίσθαι μισθούς.

Κάτοπτα λέγε καὶ μὴ ὀπτά, ἤτοι θεατά. Θουκυδίδης ἐν τῇ ὀγδόῃ· ὥστε τὰ ἐν τῷ ἐπέκεινα αὐτοῦ μὴ κάτοπτα εἶναι. (καὶ) Ἀριστείδης ἐν δευτέρῳ τῶν ἱερῶν· καὶ πάντ' ἦν κάτοπτα ἀπὸ τῆς γεφύρας. ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποπτα δὲ τὰ ὑψηλὰ καὶ περίβλεπτα, ἢ ἐφ' ὧν τις ἱστάμενος δύναται μακρὰν βλέπειν.

Καθάπαξ ἀντὶ τοῦ παντελῶς· εἰσάπαξ δὲ καὶ ἀντὶ τοῦ ἅπαξ καὶ ἀντὶ τοῦ παντελῶς καὶ διόλου. Δημοσθένης· ἀλλ' εἰς μὲν ἅπαξ καὶ βραχὺν χρόνον ἀντέχει. Λουκιανὸς ἐν Τίμωνι· τὸ κεχηνὸς τοῦτο καὶ ἐς τὸ ἅπαξ ἀναπεπταμένον. Λιβάνιος ἐν μελέτῃ τῇ Ὅτε πρῶτον ὑμᾶς εἶδον· τῆς Ἀγαμέμνονος βδελυρίας εἰσάπαξ κατεγνωκότας.

Κατέσχημαι· κατίσχημαι δὲ βάρβαρον. οὐ γὰρ ἔστιν ἰσχέω ἰσχῶ, ἀλλὰ σχέω σχῶ. ὡσαύτως καὶ κατεσχημένος καὶ συνεσχημένος καὶ ἐνεσχημένος καὶ περιεσχημένος. Λουκιανὸς ἐν Τίμωνι· πρὸς ἄνδρα ὑπὸ τηλικούτου στρατοπέδου περιεσχημένου.

Καὶ Κεγχρεαὶ καὶ Κεγχρειαί. Λουκιανὸς ἐν τῷ περὶ τοῦ πῶς δεῖ ἱστορίαν συγγράφειν· οὐδ' ἄχρι Κεγχρεῶν ἀποδημήσας. καὶ Θουκυδίδης ἐν τῇ ὀγδόῃ· πλέων ἐκ τῶν Κεγχρειῶν.

Οὐ μόνον κέκτημαι, ἀλλὰ καὶ ἔκτημαι χωρὶς τοῦ κ γράφουσιν. Αἰσχύλος ἐν Προμηθεῖ·

κοινὸν ὄμμα ἐκτημέναι.

Φιλόστρατος ἐν τῷ τοῦ Ἀπολλωνίου βίῳ. ὁ τὴν ἀρχὴν ἀπολωλυῖαν ἀνεκτημένος. καὶ ἐν πολλοῖς δὲ ἄλλοις τῶν λογοποιῶν ζητῶν εὑρήσεις.

Καπνοδόκη, οὐ καπνοδόχη. Λουκιανὸς ἐν τῷ Ἰκαρομενίππῳ· σπεύδειν τέ σοι ἐπὶ τῆς καπνοδόκης.

Κατεύχομαι τὸ καταρῶμαι· παρ' Ἡροδότῳ δὲ τὸ ἐπιπόνως εὔχομαι, ὡς ἐν τῇ πρώτῃ· πᾶσι Πέρσῃσι κατεύχεται εὖ γίνεσθαι.

Οὐ μόνον καταστρέφομαι παρ' ἄλλου, ἀλλὰ καὶ

καταστρέφομαι τὸν δεῖνα. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· ἅτε δὴ Μίνω τε κατεστραμένου γῆν πολλήν.

Οὐ μόνον καθάπτομαι τοῦ δεῖνος, ἀλλὰ καὶ ἅπτομαι ἐπὶ τοῦ αὐτοῦ. ὁ αὐτὸς ἐν τῇ πέμπτῃ· ἀλλήλων ἅπτοντο καταιτιώμενοι.

Οὐ μόνον κοινωνῶ σοι τοῦ δεῖνος ἀντὶ τοῦ συμμετέχω σοι, ἀλλὰ καὶ κοινωνῶ σοι ὧν ἔχω ἀντὶ τοῦ μεταδίδωμι. Πλάτων ἐν δευτέρᾳ τῶν πολιτειῶν· τετραπλάσιον χρόνον τε καὶ πόνον ἀναλίσκειν ἐπὶ σίτου παρασκευῇ καὶ ἄλλοις κοινωνεῖν, ἤγουν μεταδιδόναι τούτου. καὶ πάλιν ἐν τῇ αὐτῇ· καὶ μὴ ἄλλοις κοινωνοῦντα πράγματα ἔχειν. καὶ κοινωνῶ ἁπλῶς τὸ μετέχω, πρὸς γενικὴν μόνον συντασσόμενον.

## Λ.

Λαμπρὰ ἐσθὴς κάλλιον λέγειν ἢ λευκή. λαμπρὰ ἡμέρα, οὐ καθαρά.

Λαγχάνω δίκην τῷ δεῖνι ἤγουν κρίσιν Ἀττικοὶ λέγουσιν, οὐκ ἐπιφέρω· διὰ κλήρου γὰρ τὰς δίκας ἐποίουν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ λαγχάνει Ποσειδῶν Ἄρει τὴν ὑπὲρ τοῦ παιδός.

Λοῦμαι πάντες Ἀττικοὶ καὶ λούμενος καὶ λοῦσθαι.

Λυσιτελὲς καὶ λυσιτελεῖν, οὐ λυσιτέλεια· ὠφέλεια δέ.

Λαισήιον, οὐκ ἀσπιδίσκιον· ἀσπὶς δέ

Λευκόχρως λευκοχρῶτος, οὐ λευκόχρους λευκόχρου.

Λεώς, οὐ λαός.

Λατόμος καὶ λιθουργός, καὶ λατομία καὶ λιθουργία καὶ λατομῶ καὶ λίθον ξέω καὶ λαξεύω καὶ λα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ξευτὴς καὶ λίθων ἐργάτης καὶ λιθολόγος. Θουκυδίδης ἔχουσαι καὶ λιθολόγους καὶ τέκτονας, τὸ δὲ λοθοκόπος ἀδόκιμον, εἰ καὶ Ἀντιφῶν λέγει.

Λοιμὸς ἀνὴρ καὶ φθόρος. Ἀριστείδης· λοιμοὶ καὶ φθόροι πόλεως. οὐ λυμεὼν οὐδὲ φθορεύς.

Ληρῶ καὶ φλυαρῶ καὶ φλυαρία, οὐ ληρῳδία.

Λοπάδιον, οὐχὶ λοιπάς. Ἀριστοφάνης ἐν Πλούτῳ·
ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα.

Λεπὰς ὀξυτόνως ὄστρεόν τι μονόπτυχον ταῖς πέτραις προσπεφυκός· λέπας δὲ ἀπόσπασμα ὄρους.

Λέμφος ἡ κόρυζα, ὡς τὸ κορύζης καὶ λέμφου ἔμπλεως παρὰ Λιβανίῳ. καὶ λέμφος ἀρσενικῶς ὁ κορυζώδης καὶ μυξώδης.

Λέχος ἡ κλίνη· εὐνὴ δὲ ἡ ἐπὶ ταύτης στρωμνή.

Λίβανος καὶ τὸ δένδρον καὶ τὸ θυμιώμενον· λιβανωτὸς δὲ μόνον τὸ θυμιώμενον.

Λυχνοῦχον (οἱ ῥήτορες) καὶ λαμπτῆρά φασι, φανὸν δὲ τὴν λαμπάδα· καὶ οἱ μὲν κωμικοὶ διὰ τοῦ φ, οἱ δὲ τραγικοὶ διὰ τοῦ π πανόν. λυχνεῖον δὲ τὴν λυχνίαν.

Λαγὼς διὰ τοῦ ω μεγάλου Ἀττικοί· οἱ δὲ Ἴωνες μικρογραφοῦσιν.

Ἡ λιμὸς οἱ λυρικοί. σὺ δὲ τὸν λιμὸν λέγε.

Λύτρον, οὐχὶ λυτήριον.

Λήθαργος καὶ ἡ ληθώδης νόσος καὶ ὁ ταύτην νοσῶν. Ἀττικοὶ μὲν οὖν λήθαργον ἐπὶ τῆς νόσου φασίν, ἐπὶ δὲ τοῦ ταύτην νοσοῦντος ἐπιλήσμων. Μένανδρος δὲ καὶ τὸν νοσοῦντα λήθαργον λέγει.

Λιθίδιον λέγε, ἀλλὰ μὴ λιθάριον.

Τὸν λάρυγγα ἀρσενικῶς Ἀττικοί, τὴν φάρυγγα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ θηλικῶς, εἰ καὶ Ἐπίχαρμος ἀρσενικῶς λέγει, καὶ Ἀριστείδης ἐν πέμπτῳ τῶν ἱερῶν ἅπαξ· ἦν δὲ τὸν χρόνον τοῦτον ἐργώδη τὰ περὶ τὸν φάρυγγα. Ἀριστοφάνης ἐν βατράχοις·

ὅσον χανδάνῃ ἡμῶν ἡ φάρυγξ.

ἔστι δὲ φάρυγξ μὲν ἡ τῆς φωνῆς διέξοδος, λάρυγξ δὲ ἡ τῶν σιτίων εἴσοδος. ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ δράματι·

ἐγὼ δὲ τὸν λάρυγγ' ἄν ἐκτέμοιμί σου,
. . . . ᾧ τοὺς κόλυκας κατήσθιες.

καὶ θαῦμα, πῶς ἐκεῖ μὲν οὐ ποιοῦμεν ῥῆμα, ἐπὶ δὲ τοῦ λάρυγγος ποιοῦμεν, οὐ τὸ τούτου, ἀλλὰ τὸ τῆς φάρυγγος σημαινόμενον ἔχον· λαρυγγίζω γὰρ φαμεν οὐ τὸ ἐσθίω, ἀλλὰ τὸ εὐήχως λέγω.

Λευκὴν ἡμέραν διαγαγεῖν λέγουσιν, ἤγουν ἡδεῖαν καὶ ἱλαράν.

Λειμὼν τόπος δίυγρος, ἀνθηρὰν πόαν ἔχων, τὸ κοινῶς λεγόμενον λιβάδιον. κῆπος ὁ τῶν λαχάνων καὶ τῶν δένδρων, παράδεισος ὁ δένδρα ἥμερα ἔχων. ἄλσος δὲ καὶ δρυμὼν καὶ λόχμη ἐπὶ ἀγρίων δένδρων ἱσταμένου ἐπὶ ξηρᾶς· ἕλος δὲ τόπος λιμνώδης καὶ καλαμώδης.

Λαλιὰ καὶ προσλαλιὰ καὶ προλαλιὰ δόκιμα. καταλαλιὰ δὲ οὐδεὶς εἶπε τῶν ἀρχαίων, ἀλλ' ἀντὶ τούτου κατηγορία. ὡσαύτως καὶ ῥητέον, οὐ λαλητέον.

Ληστρικὸν πλοῖον, ληστικὸν δὲ σύνταγμα. Θουκυδίδης· τὸ δὲ ληστικὸν ὡς εἰκὸς καθῄρει.

Λογογράφος οὐ μόνον ὁ λόγους γράφων, ἀλλὰ καὶ ἐπὶ διαβολῆς εὕρηται, οἱονεὶ ψευδογράφος. Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου· λογογράφους

τοίνυν καὶ σοφιστὰς ἀποκαλῶν καὶ τοιαῦθ' ὑβρίζων· καὶ Αἰσχίνης περὶ Δημοσθένους λέγων· τῷ λογογράφῳ τῷ δε καὶ Σκύθῃ. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ λογοποιός· καὶ γὰρ καὶ λογοποιός ὁ λόγους τε γράφων καὶ ὁ ψεύδη συντιθείς. Συνέσιος ἐν ἐπιστολῇ τῇ Ὥσπερ ἄλλοτε πολλάκις· ὡς ὁ λογοποιὸς ὁ τιτρώσκων ἐξ ἀφανοῦς.

Οὐ μόνον λεπτοτάξιον καὶ λειποταξία φαμὲν ἀλλὰ καὶ λειποστρατεία καὶ λειποστράτιον. Θουκυδίδης· λειποστράτιον εἴ τῳ ἐγένετο.

Λεπτὸν κυρίως τὸ μὴ πάχους μετέχον ξύλον, ἀλλ' ἄγαν περιεξεσμένον, ἀπὸ τοῦ λέπω λέψω λέλεφα λέλεμμαι λέλεψαι λέλεπται. ἐκεῖθεν δὲ εἰς διαφόρους σημασίας ἐξῆκται. λεπτὸν γὰρ νόημα λέγομεν τὸ μὴ τῆς πολλοῖς εὔληπτον· καὶ λεπτότητα φρενὸς καὶ ὅσα τοιαῦτα. λεπτὸν καὶ τὸ μικρὸν καὶ ἀσθενές, ὡς Θουκυδίδης ἐν τῇ ἑβδόμῃ· οἱ ἐν τοῖς λεπτοῖς πλοίοις περιπλέοντες. Ἀριστείδης ἐν Θεμιστοκλεῖ· ὥστε καὶ περὶ τοῦ μέλλοντος λεπτὰς ἔχειν ἐλπίδας. καὶ Λιβάνιος ἐν ἐπιστολῇ· εἰ τῇ σῇ δυνάμει χρησαίμην· ἡ γὰρ ἐμὴ λεπτή τις. λεπτὸν καὶ τὸ δυσμεταχείριστον καὶ οὐκ εὐάγωγον. Φιλόστρατος· τὸ δὲ ἔθνος τοῦτο ἀγέρωχοι καὶ λεπτοὶ ἀρχθῆναι.

Λύζω τὸ τῷ κοινῶς λεγομένῳ κλώξῳ κατέχομαι, ὡς Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ· οὔτε λύζων ἄνθρωπος οὔτε χρεμπτόμενος. ὃ δὴ προερχόμενον εἰς παθητικὸν παρακείμενον ἀπὸ μὲν τοῦ πρώτου προσώπου τὸν λυγμὸν ποιεῖ, ἀπὸ δὲ τοῦ δευτέρου τὴν λύγγα· ἀπὸ γὰρ τοῦ λέλυξαι λύγξ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅπερ ἐστὶ κίλλιον τοῦ λυγμός. Θουκυδίδης ἐν τῇ πρώτῃ· λύγξ τε τοῖς πλείοσιν ἐνέπεσε καινή.

Ἡ λαῖλαψ, οὐχ ὁ λαῖλαψ. Ἀριστείδης ἐν τετάρτῳ τῶν ἱερῶν· λαίλαπι ἀγρίᾳ

Λοιδοροῦμαί σοι καὶ διαλοιδοροῦμαι· λοιδοροῦμαι δὲ μόνον ὑπὸ σοῦ.

Λωφᾷ τις κυρίως, ὅταν διαλίπῃ λυπούμενος καὶ λωφᾷ τὸ πάθος. λέγεται δὲ καταχρηστικῶς καὶ ἐπὶ θυμοῦ καὶ νόσου καὶ τῶν ἄλλων. ὄντι δὲ ἀμεταβάτῳ μεταβατικῶς Αἰσχύλος χρῆται ἐν Προμηθεῖ·

ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω.

Λυδίον παιδίον παροξυτόνως Ἀττικοὶ λέγουσιν, οὐχὶ Λύδιον· Λύδιον δὲ ἅρμα.

Λινοπάξ ὡς ἀκανθοπλὴξ, οὐ λινόπαξ.

Λαμυρία ἡ εὐτραπελία. Πλούταρχος ἐν τῷ πῶς ἄν τις διακρύνειε τὸν κόλακα τοῦ φίλου· ἂν ἔγγιστα φαίνωνται λαμυρίας καὶ θρασύτητος. λέγεται δὲ λαμυρία καὶ ἡ κατάπληξις· καὶ ἡ ἡδύτης δὲ καὶ ἡ καθαριότης, ὅθεν καὶ λαμυρὰ πηγὴ ἡ καθαρὰ καὶ ἡδεῖα παρὰ Θουκυδίδῃ· ἕτεροι δὲ καὶ λαμιρὰ γραφὴ λέγουσιν. (οὐδεὶς μέντοι τῶν ῥητορικῶν τῷ ὀνόματι τούτῳ ὅλως ἐχρήσατο.)

Λογίους τοὺς πολυΐστορας οἱ ἀρχαίως ἀττικίζοντες, ὡς καὶ Ἡρόδοτος· λογίους δὲ τοὺς διαλεκτικοὺς οἱ ὕστερον. ἔστι δὲ καὶ λόγιος ὁ λόγου ἔφορος. Ἀριστείδης ἐν τῷ ὑπὲρ τῆς ῥητορικῆς πρώτῳ· καλῶ δ' ἐπὶ τούτῳ τῷ τολμήματι καὶ Ἑρμῆν λόγιον. καὶ λογεῖον ὁ τόπος τοῦ θεάτρου. Συνέσιος ἐν τῷ ὑπὲρ φαλάκρας· μικρὸν ἀπερυθριάσασιν ἐν τῷ λογίῳ ἀποδοῦναι. καὶ λόγιμον καὶ ἐλλόγιμον τὸ λόγου ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ιον. Ἡρόδοτος ἐν τῇ πρώτῃ· ὅτι γὰρ μὴ Ἀθῆναι, ἦν οὐδὲν πόλισμα λόγιμον.

Ὡσαύτως οἱ μὲν λητουργὸς διὰ τοῦ η, ἤτοι ὁ τὰ λήιτα ἔργον ἔχων· λήιτα γὰρ λέγεται τὰ δημόσια· οἱ δὲ διὰ διφθόγγου.

Καὶ λαμπὰς καὶ λαμπάδιον.

Λοιδορισμός μὴ εἴπῃς, ἀλλὰ λοιδορία.

Λύτρα καὶ σῶστρα λογογράφοι, ἄποινα δὲ ποιηταί· εἰσὶ δὲ ταῦτα τὰ ἐπὶ ἐλευθερίᾳ διδόμενα· ὑποφόνια δὲ, ἅπερ διδόασιν οἱ φονεῖς εἰς λύσιν τοῦ ἐγκλήματος. Ἀριστείδης ἐν τῷ πρεσβευτικῷ πρὸς Ἀχιλλέα· πόσα τὰ ὑποφόνια καταθέντα εὐμενοῦς τυχεῖν.

## M.

Μέλλω ποιεῖν καὶ μέλλω ποιήσειν· οὐ μέλλω ποιῆσαι, ἀλλὰ μετὰ τὸ ἄν, ἤγουν μέλλω ποιῆσαι ἄν. προστιθέαμεν δὲ τὸ ἄν, ἵνα τὸν παρῳχημένον διὰ τούτου ὡς μέλλοντα δεξώμεθα. οἱ δὲ μὴ οὕτω γράφοντες ἁμαρτάνουσιν· εἰ καὶ Αἰσχύλος ἐν Προμηθεῖ διὰ τὸ μέτρον ἀναγκασθεὶς ἐπὶ παρῳχημένου ἅπαξ εἶπε λέγων·

μήτι με κρύψῃς τοῦθ' ὅπερ μέλλω
παθεῖν,

νοουμένου ἔξωθεν τοῦ ἄν. εὕρηται δὲ καὶ παρὰ Πλάτωνι ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ· οὐδ εἰ πολλάκις μέλλω τεθνάναι, ὅπερ μοι δοκεῖ ἁμάρτημα τῶν γραφέων εἶναι διὰ τὸ μηδαμοῦ ἑτέρωθι τῶν αὐτοῦ λόγων τοῦτο εὑρίσκεσθαι. ὤφειλε γὰρ μετὰ τοῦ ἄν εἶναι, οἷον οὐδ' εἰ πολλάκις ἂν μέλλω τεθνάναι.

Μαιεύεται, οὐχὶ μαιοῦται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μυήσεται, κάλλιον ἢ μυηθήσεται· καὶ μαχοῦμαι ἢ μαχήσομαι.

Μελίπηκτον καὶ πόπανον, οὐ μελίτωμαι, μελίπηκτα δέ ἐστιν ἄλφιτα ἀναδεδευμένα μέλιτι, ὃ μελιτοῦττάν φασιν· ἀλλὰ σὺ τὰ μελίπηκτα ἀφεὶς τοῖς ποιηταῖς μελιτοῦτταν λέγε· τινὲς δὲ μελιτοῦττάν φασιν οὐ τὸ ἐξ ἀλεύρου καὶ μέλιτος φύραμα, ἀλλὰ τὸ ἁπλῶς πόπανον, ὡς Ἀριστοφάνης ἐν νεφέλαις·

δὸς μοι μέλιτοῦτταν ἐς τὼ χεῖρε.

Μίνθη, οὐχ' ἡδύοσμον.

Μοιχᾶται ὁ ἀνήρ, μοιχεύεται δὲ ἡ γυνή.

Μεταπέμπομαι, οὐ μεταπέμπω, εἰ καὶ Θουκυδίδης ἐχρήσατο ἐν τῇ ἕκτῃ· αὐτῶν τῶν Λακεδαιμονίων μεταπεμψάντων· καὶ ἐν τῇ ἑβδόμῃ· ἣν μὴ ὡς τάχιστα ἢ σφᾶς μεταπέμψωσιν.

Μηκύνω τὸν λόγον κάλλιον ἢ ἐκτείνω· ἐκτείνω δὲ τὴν χεῖρα ἐκτετακώς.

Μεσσέγγυος, οὐ μεσίτης.

Μύλη, οὐ μύλος

Μεθύση γυνὴ Ἀττικόν, ὡς Ἀριστοφάνης ἐν νεφελαις·

γραῦν μεθύσην τοῦ κόρδακος εἵνεκα.

μέθυσος δὲ ἐπὶ μὲν ἀρσενικοῦ οὐδεὶς τῶν δοκίμων εἶπεν, ἐπὶ δὲ θηλυκοῦ Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ· οὐκ ἔστιν ἡ γυνὴ μοι μέθυσος. σὺ τοίνυν Ἀττικοῖς ἑπόμενος ἐπὶ μὲν ἀρσενικοῦ μεθύων λέγε καὶ μεθυστικός, ὡς Φιλόστρατος· ἑώρα δὲ αὐτὸν καὶ μεθυστικὸν καὶ ἀνοήτως ἐρῶντα· ἐπὶ δὲ θηλυκοῦ μεθύουσα καὶ μεθύση. οὐ μόνον δὲ ἐπὶ οἴνου τὸ μεθύω λέγουσιν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἁπλῶς ὑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ζειν καὶ μὴ ἐθέλειν σωφρονεῖν ὑπό τινος τυχὸν ἐ-
σίας ἢ πλούτου ἢ τοιούτου τινὸς ἄλλου, ὡς Δη-
σθένης περὶ Φιλίππου λέγει· μεθύει τῷ μεγέθει
ν πεπραγμένων. καὶ Λιβάνιος ἐν τῇ τοῦ Ἀχιλ-
ως ἀπολογίᾳ· κατὰ στρατηγοῦ μεθύειν.
Μεθύω ἐγὼ ἀμεταβάτως, καταμεθύω δὲ ἕτερον.
άτων ἐν Γοργίᾳ· ξενίσας αὐτὸν καὶ καταμεθύσας.
Μαχλὰς οὐδεὶς τῶν Ἀττικῶν, μάχλη δὲ Λουκια-
· ὑπὸ μάχλης γυναικὸς ἐπιβεβουλευμένος.
Μεῖραξ καὶ μειρακίσκος ἀδόκιμα· μειράκιον δὲ
ετέρως πάντες οἱ ῥήτορες, μεῖραξ μέντοι ἐπὶ θη-
κοῦ καὶ μειρακίσκη.μόνος Ἀριστοφάνης ἐν Πλού-

σὺ δ᾽ ἄπιθι χαίρων συλλαβὼν τὴν μείρακα.
πάλιν·
ὦ μειρακίσκη, πυνθάνῃ γὰρ ὡρικῶς.
δὲ μειράκιον θῆλυ λέγε.
Μελάχρως μελαγχρῶτος. Εὐριπίδης ἐν Ὀρέστῃ
μελαγχρῶτες Εὐμενίδες.
μελάγχρους μελάγχρου.
Μαίνεται περὶ λόγους κρεῖττον καὶ βακχεύει ἢ
ουσιᾷ.
Μελαίνεσθαι τὰς τρίχας λέγε, μὴ βάπτεσθαι.
Μαθητρὶς ὡς αὐλητρίς, οὐ μαθήτρια.
Μύρου ὄζει Ἀττικοί, οὐ μύρον.
Μύκης μύκητος, οὐκ ἀμανίτης.
Μυρρίνη Ἀττικοί, οὐ μυρσίνη.
Μεταβολεύς, οὐ μετάβολος.
Μαστὸς ἐπὶ γυναικός. Εὐριπίδης ἐν Ἑκάβῃ·
ὦ στέρνα μαστοί θ᾽ οἵ μ᾽ ἐθρέψαθ᾽ ἡδέως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μαζὸς δὲ ἐπὶ ἀνδρός, ὡς τὸ

νευρὴν μὲν μαζῷ πέλασε

παρ' Ὁμήρῳ (ἐν τῷ γ' Ἰλιάδος.) εὕρηται δὲ κ
μαζὸς ἐπὶ θήλεος καταχρηστικῶς. Θεόκριτος·

. . . . . . . . ἦ ρα λεαίν

μαζὸν θήλασδε

φασὶ μέντοι οἱ τεχνικοί, ἐπὶ μὲν θήλεος διὰ τοῦ
μαστὸς ἐκφέρεται, οἱονεὶ μασητός, ἐπὶ δὲ ἀνδρ
διὰ τοῦ **σθ**, ὁ μὴ ἐσθιόμενος.

**Μ**εγαλαυχῶ οὐδεὶς τῶν ἀρχαίων, ἀλλὰ μεγαλα
χοῦμαι. Λιβάνιος ἐν ἐπιστολῇ· καὶ μεγαλαυχοῦ
μεθά γε Σύροι Ρωμαίοις διδόντες ἄνδρα.

Τὸ μὴ ἀπαγορευτικόν ἐστι, καὶ ἐπὶ μὲν ἐνεστῶ
τος προστακτικῷ συντάσσεται, ἐπὶ δὲ ἀορίστου κα
τῶν ἄλλων ὑποτακτικῷ. οὐκ ἐρεῖς ἐπὶ ἐνεστῶτος μ
τύπτῃς, ἀλλὰ μὴ τύπτε· μὴ τύψῃς δὲ ἐπὶ ἀορ
στου καὶ τῶν ἄλλων χρόνων. ἔδειξε δὲ ἀμφότερ
Ἀριστείδης ἐν τῷ πρὸς Ἀχιλλέα πρεσβευτικῷ ε
πών. μὴ δὲ ἀπέχου μὲν ὡς φίλων, πρόῃ δὲ ὡς πολε
μίους, ἐπὶ τοῦ ἐνεστῶτος μὲν προστακτικὸν θεὶς τ
ἀπέχου, ἐπὶ παρῳχημένου δὲ ὑποτακτικὸν τὸ ἐπε
νεγκὼν τὸ πρόῃ, εἰ δὲ καὶ εὕρηται τὸ μή ἐπὶ ὑπο
τακτικοῦ ἐπὶ ἐνεστῶτος, ὡς τὸ

μὴ δοκῶμεν δρῶντες

παρὰ Σοφοκλεῖ ἐν Αἴαντι, καὶ παρὰ Λιβανίῳ ἐ
τῇ εἰς τὸν ναὸν τοῦ Ἀπόλλωνος μονῳδίᾳ· μήτ
καλὴν μήτε μεγάλην καλῶμεν ἔτι τήνδε τὴν πό
λιν, ἀλλὰ τούτου χάριν γέγονε τοῦτο· ἐπειδὴ
μὲν ἀπαγορεύων ἐπὶ ἐνεστῶτος προστακτικῷ ἐ
ἀνάγκης χρῆται, (ἑτέρῳ γὰρ ἀπαγορεύει,) ὁ δ

ς ἑαυτὸν τὴν ἀπαγόρευσιν ποιούμενοι ἀδυνά-
ἔχει προστακτικῷ χρῆσθαι. οὗτοι τοίνυν ἐφ' ἑ-
ῶν τὴν ἀπαγόρευσιν ποιούμενοι καὶ κατὰ τοῦτο
δυνάμενοι προστακτικοῖς χρῆσθαι, διὰ τὸ ἐν
ς προστακτικοῖς ἐπὶ παντὸς ἀριθμοῦ πρῶτον
όσωπον μὴ εὑρίσκεσθαι, (οὐδεὶς γὰρ ἑαυτῷ
στάσσει) ἐξ ἀνάγκης ὑποτακτικῆς ἐνεστῶσιν
ρήσαντο λέγοντες μὴ δοκῶμεν καὶ μὴ κα-
μεν. Γίνωσκε δὲ καὶ τοῦτο, ὅτι ἐπὶ τῶν ἑνικῶν
ώτων προσώπων τοῦ ὑποτακτικοῦ ἀορίστου καὶ
ρακειμένου καὶ τῶν καθεξῆς χρόνων οὐ χρῶ-
θα μόνῳ τῷ μή, οἷον μὴ τύψω καὶ μὴ τυπῶ καὶ μὴ
ύφω, ἀλλὰ μετὰ τῆς προσθήκης τοῦ οὐ, οἷον οὐ
τυπῶ. ἰστέον δὲ ὅτι καὶ τὸ μὴ καὶ τὸ οὐ μὴ οὐ
νον ἐπὶ ὑποτακτικῶν τίθενται, ἀλλ' ἔστιν ὅτε καὶ
ὶ μελλόντων ἁπλῶς, οἷον παρ' Αἰσχύλῳ ἐν Προμηθεῖ·

ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτε.

ὶ παρ' Ἀριστοφάνει ἐν Βατράχοις·

[ἀλλ'[ ἐκεῖνο ὅπως μὴ 'ρεῖς.

ὶ Πλάτων ἐν πρώτῃ τῶν πολιτειῶν· ἔπειτα, εἴ τι
ὶ οἴεται περὶ τούτων, ἀπειρημένον αὐτῷ εἴη, ὅπως
δὲν τούτων ἐρεῖ. καὶ παρὰ Συνεσίῳ ἐν ἐπιστολῇ·
μὴ ἐρεῖς, ὡς ἔλαθεν ὑμᾶς. τὸ τοιοῦτον δὲ μὴ οὐ
νον ἐπὶ ὑποτακτικοῦ τίθεται. ἀλλὰ καὶ ἐπὶ εὐκτι
ῦ. Ἀριστείδης ἐν πρώτῳ τῶν ἱερῶν· καὶ σφόδρα
ῖσαι, μὴ ἐπιθεῖντό μοι. εὕρηται δὲ παρὰ Λουκια
ἅπαξ καὶ ἐπὶ ὁριστικοῦ ἐνεστῶτος ἐν τοῖς νεκρι-
ῖς. ὅρα γοῦν, μὴ τὸ ἐναντίον ἐστί.

Μεγαλοψυχία καὶ ἡ γενναιότης καὶ ἡ ἐν ταῖς
εταδόσεσι δαψίλεια. Ἀριστείδης ἐν τῷ Παναθη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναϊκῷ· ἐλευθερίας ἐφόδιον καὶ μεγαλοψυχίας.
Μεσονύκτιον καὶ μεσονύκτιος ποιητικόν. Εὐριπίδ[ης] ἐν Ἑκάβῃ·

μεσονύκτιος ὠλύμαν.

σὺ δὲ μεσούσης νυκτὸς λέγε καὶ μέσης νυκτός κ[αὶ] μέσων νυκτῶν.

Μάλη ἐπ' εὐθείας οὐχ εὕρηται, ἀλλ' ἐπὶ γενικ[ῆς] μόνον ὡς τὸ ὑπὸ μάλης ἔκρυπτον τὰς ἀσπίδας πα[ρὰ] Συνεσίῳ ἐν τῷ περὶ προνοίας, ἤτοι μασχάλης. τὸ [δὲ] μασχάλη κοινόν. ἀφ' ἧς καὶ τὸ μασχαλιστήρ κα[τ'] Αἰσχύλον.

Μεγιστᾶνες ἀδόκιμον· σὺ οὖν μέγα δυνάμενοι λέγ[ε].

Μάγειρος καὶ σιτοποιός καὶ ὀψοποιός δόκιμα, μ[ά]γειρεῖον δὲ ἀδόκιμον· καὶ τὸ ὀπτανεῖον μέντοι οὐδε[ὶς] τῶν ῥητόρων εἶπε

Μιαρός καὶ παμμίαρος καὶ μιαρώτατος, ὡς Ἀριστ[ο]φάνης ἐν βατράχοις οὐ μιαρία δὲ ἀλλὰ βδελυρί[α].

Μάτην λέγε, μὴ ματαίως. Ἀριστοφάνης ἐν νεφ[έ]λαις·

μάτην ἐμοὶ κεκλαύσεται.

καὶ Σοφοκλῆς ἐν Ἠλέκτρᾳ.

μάτην ἄρ' ἡμεῖς ὡς ἔοικεν ἥκομεν.

Μαχαιρίδες αἱ τῶν κουρέων, μάχαιραι αἱ τῶν μα[γ]γείρων καὶ τῶν ἄλλων.

Μέσον ἡμέρας καὶ μεσημβρία καὶ μεσοῦσα ἡ[μέρα]· μέση δὲ ἡμέρα κοινόν.

Μάρτυς καὶ ἐπὶ ἀγαθοῦ καὶ ἐπὶ κακοῦ· ἔλεγχο[ς] δὲ ἐπὶ κακοῦ μόνον.

Μνήμη κυρίως τῶν ἀπελθόντων, καταχρηστικ[ῶς] δὲ καὶ τῶν ζώντων· μνεία δὲ μόνον τῶν ζώντων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μισθὸς ἀδιάβλητον, διαβεβλημένον δὲ τὸ μίσθωμα, ἐπὶ πόρνης γὰρ λέγεται, ὡς παρὰ τῷ θεολόγῳ Γρηγορίῳ ἐν τοῖς τετραστίχοις·

μίσθωμα πόρνης ἁγνὸς οὐ μερίζεται.

Οὐ λογογράφων τὸ λέγειν μᾶλλον πλουσιώτερος καὶ μᾶλλον ἀνδρειότερος, οὐ μὴν οὐδὲ μάλλιστα πλουσιώτατος· περιτταὶ γὰρ καὶ ἄκαιροι αἱ τοιαῦται προσθῆκαι· τὸ γὰρ πλουσιώτερος συγκριτικὸν ὂν οὐ δεῖται ἑτέρου συγκριτικοῦ τοῦ μᾶλλον. ὡσαύτως καὶ τὸ πλουσιώτατος ὑπερθετικὸν ὂν οὐ δεῖται ἑτέρου ὑπερθετικοῦ τοῦ μάλιστα. ποιηταὶ δὲ ὥσπερ καὶ ἕτερ' ἅττα καινοτομοῦσι, καὶ τοῦτο ἔστιν ὅτε ποιοῦσιν. Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

καλῶς τεθνάναι κάλλιον ἂν μᾶλλον ἢ σεσῶσθαι.

καὶ Ἀριστοφάνης·

οὐδ' ἂν γένοιτο μᾶλλον ὀλβιώτερον.

οὐδεὶς δὲ τῶν δοκίμων ῥητόρων οὕτως εἶπε.

Μαρτύριον κρεῖττον ἢ μαρτυρία. Θουκυδίδης. μετὰ ἀειμήστου μαρτυρίου.

Μενετὸς ὁ δυνάμενος μένειν, ὡς ὁ αὐτός· τοῦ δὲ πολέμου οἱ καιροὶ οὐ μενετοί.

Μαίνομαι τὸ τὸν νοῦν βεβλαμένον ἔχω καὶ μὴ καθεστηκότα· καὶ μανία. τὸ πάθος. μαίνομαι καὶ τὸ ἐνθουσιῶ· καὶ μανίαν. καὶ μανιακὸς ἐραστὴς ὁ πρὸς τὸν ἔρωτα ἐξιστάμενος καὶ τοῦ ἐρᾶν ὅλος γινόμενος· καὶ μαντακὸς ἁπλῶς ὁ ἔνθεος, ὡς ἔχει τὸ τοῦ Ἀριστείδου ἐν τῷ εἰς Δία· δότε μοι μανικὸν γενέσθαι τὸν λόγον· μαίνομαι δὲ καὶ τὸ δίχα νόσου ἁπλῶς μωραίνω. καὶ μανιώδης οὖσα ἡ ὑπόσχεσις ἀπέβη·

Μάττω τὸ ζυμῶ, μάξω μέμαχα μέμαγμαι μεμαγμένος. Ἀριστοφάνης ἐν Πλούτῳ·

μεμαγμένον σκῶρ ἐσθίειν.

καὶ Θουκυδίδης ἐν τῇ τετάρτῃ· σῖτον ἐκπέμπειν τακτὸν καὶ μεμαγμένον.

Καὶ μεταχειρίζομαι καὶ μεταχειρίζω.

Μεταξὺ ἀντὶ τοῦ διαμέσου καὶ μεταξὺ ἀντὶ τοῦ ἐν ὅσῳ. Λιβάνιος ἐν τῷ Ἦλθες Τηλέμαχε· καὶ σου δέομαι μὴ μεταξὺ λέγοντος ἀπαντᾶν

Μόλις ἀντὶ τοῦ βραδέως, μόλις δὲ ἀντὶ τοῦ μετὰ βίας.

Μονώτατος παρὰ ποιηταῖς· μονώτερος δὲ οὐκέτι. Ἀριστοφάνης ἐν Πλούτῳ·

μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος.

Τὸ μὴν παρὰ μὲν ποιηταῖς ἀργόν, παρὰ δὲ ῥήτορσιν ἀντὶ τοῦ δέ, καὶ ἰδίᾳ τιθέμενον καὶ μετὰ τοῦ γε ἢ προηγουμένου ἢ ἑπομένου· οἷον, τό γε μὴν εἰς πατέρας ἧκον, καί, οὐ μήν γε τόδε ἐγένετο.

Μύσταξ οὐχὶ μάσταξ.

Μόχθηρος οὐ μόνον ὁ γεωργὸς ἀλλὰ καὶ ὁ φαύλους ἔχων τρόπους, οὐ μοχθηρός.

Μισητὴ ἡ μίσους ἀξία γυνή· μισήτη δὲ βαρυτόνως ἡ καταφερής.

Μεδίμνος παροξυτόνως οἱ κυρίως Ἀττικοὶ λέγουσιν, οὐ μέδιμνος

Μανοῦμαι κάλλιον ἢ μανήσομαι.

Μίγνυται ὁ ἀνὴρ τῇ γυναικί, οὐχ ἡ γυνὴ τῷ ἀνδρί.

Ὅταν τεθῇ τὸ μά, ἢ προσκειμένην ἔχει τὴν ἄρνησιν ἢ νοουμένην καὶ τοῦτο μὲν εὕρηται διόλου·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Λιβάνιος δὲ ἅπαξ ἐχρήσατο ἐπὶ συγκαταθέσεως ἐν τῇ περὶ τῆς λάλου γυναικὸς μελέτῃ λέγων· ὀνείρατα διηγουμένη πλάττουσα κἀκεῖνα μὰ τοὺς θεούς· καὶ πάλιν· πλειστάκις ὡρακίασα μὰ τὸν Ἀπόλλω· καὶ Λουκιανὸς ἐν τῷ περὶ ἀγνοίας· μὰ Δί' ἐχλεύασέ σου Φιλόξενος τὰ ἔπη. ὅταν μέντοι προηγούμενον ἔχῃ τὸ ναί, τὴν ἰσχὺν ἅπασαν ἔχει τὸ ναί. Συνέσιος ἐν ἐπιστολῇ ναὶ μὰ τοὺς λόγους τἀμὰ καὶ σὰ παιδικά.

Ἐπὶ ἀνδρὸς τὸ μνᾶται, οἷον μνᾶται γυναῖκα, ἐπὶ δὲ γυναικὸς τὸ μνηστεύεται, οἷον μνηστεύεται ἀνδρί.

Μεῖζον φόβου πρόσωπον τὸ ἄφοβον καὶ μὴ ὑποπίπτον φόβῳ· μεῖζον δὲ φόβου πρᾶγμα τὸ ὑπερβολικὸν φόβον ποιοῦν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ οὐκ ἠπείλησε μὲν οὕτως ἀήθη καὶ ὑπερόρια καὶ φόβου μείζω. δύναιτο δ' ἂν καὶ ἐπὶ προσώπου τοῦτο λέγεσθαι.

Ἀρσενικῶς οἱ Ἀττικοὶ τὸν Μαραθῶνα λέγουσιν. Ἀριστείδης ἐν τῷ αὐτῷ· οὐ γάρ ἐστιν ὅστις ἀκούσας τὸ τοῦ Μαραθῶνος ὄνομα. Ἴωνες δὲ θηλυκῶς.

Μνηστήρ, οὐ μνήστωρ.

Μαρτυρία, ὅταν περὶ παρόντος τινὸς μαρτυρῇ· ἐκμαρτυρία δὲ, ὅταν περὶ ἀπόντος καὶ ἀποδήμου· ὡσαύτως καὶ μαρτυρῶ καὶ ἐκμαρτυρῶ Αἰσχίνης· τὴν ἐκμαρτυρίαν ἀνάγνωθι τὴν Ἀριστοδήμου, καὶ κάλει πρὸς οὓς ἐξεμαρτύρησεν. ἔδειξε γὰρ διὰ τοῦ εἰπεῖν κάλει, ὅτι ἀπῆσαν.

Μισθοφορῶ τὸ μισθὸν φέρω· καταμισθοφορῶ δὲ τόδε ἀντὶ τοῦ εἰς μισθὸν στρατιωτῶν καταδαπανῶ. ὁ αὐτός· ἐπειδὴ κατεμισθοφόρησεν τὰ ὑπάρχοντα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μήνυτρα ὁ διδόμενος μισθὸς τοῖς μηνύουσί τι, οὐ ζήτησις ἦν. Θουκυδίδης ἐν τῇ ἕκτῃ· μεγάλοις μηνύτροις δημοσίᾳ οὗτοί τε ἐζητοῦντο.

Μερίτης, οὐ συμμεριστής. Ἀριστείδης ἐν δευτέρῳ τῶν Λευκτρικῶν· καλοῦ καὶ λαμπροῦ σχήματος ἡγεῖται μερίτης ἔσεσθαι.

Ὥσπερ μέλει μοι τοῦδε καὶ μέλει μοι τόδε φαμὲν, οὕτω καὶ μέτεστί μοι τοῦδε καὶ μέτεστί μοι τόδε. Ἀριστείδης ἐν τῷ εἰς Ῥώμην· ἔτι δὲ καὶ μέτεστιν αὐτῇ πᾶσιν ἄδεια τοῖς πλήθεσι. καὶ Θουκυδίδης ἐν τῇ δευτέρᾳ· μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον.

Μιμοῦμαι τὸν δεῖνα ἀντὶ τοῦ μιμητής εἰμι τούτου, καὶ μιμοῦμαι ὑπὸ τοῦ δεῖνος ἀντὶ τοῦ μιμητὴν ἐμοῦ τοῦτον ἔχω. Πλάτων ἐν Γοργίᾳ· οὐκ οἶσθα ὅτι οὗτος ὁ μιμούμενος τὸν μιμούμενον ἐκεῖνον ἀποκτενεῖ, ἐὰν βούληται;

## Ν

Νεοττός, νεόττιον καὶ νεοττία Ἀττικοί, οὐ νεοσσός, οὐδὲ νοσσίον καὶ νοσσία.

Νῆσαι πυρὰν λέγουσιν, οὐ συναγαγεῖν οὐδὲ συνθεῖναι.

Νεῖν καὶ νήχεσθαι, οὐ κολυμβᾶν. Ἀριστείδης ἐν τῷ ὑπὲρ ῥητορικῆς· καὶ τὰς γ' ἐλάφους νεῖν φασιν ἐχομένας ἀλλήλων.

Νικᾷ τὴν δίκην, οὐ νικᾷ ἐν τῇ δίκῃ.

Νήτη χορδή, οὐκ ἐσχάτη.

Ἐνειμάμην κάλλιον ἢ ἐμέρισα. Ἀριστείδης ἐν τῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρὸς τοὺς βασιλέας ἐπιστολῇ· πρὸς δὲ τοὺς στρατιώτας τοὺς χιτῶνας ἐνείμαντο. καὶ νομὴ ὁ στρατιωτικὸς μισθός Συνέσιος ἐν ἐπιστολῇ· νομὴν στρατιώταις κομίζοντα.

Νῆες ἐπὶ εὐθείας, οὐ ναῦς· ἐπὶ δὲ αἰτιατικῆς ναῦς, οὐ νῆας,

Τὸ νῶτον, οὐχ ὁ νῶτος, ὡς τὸ νῶτα τοῖς πολεμίοις ἔδωκε· τὸ μέντοι ράχις κοινόν.

Νωδός, οὐκ ἀνόδους.

Νουθέτησις, οὐ νουθεσία.

Νάπυ, οὐ σίνηπι.

Νενηφότως καὶ ἐγρηγορότως, οὐκ ἐγρηγόρως. οὐ γάρ ἐστιν ὁ ἐγρήγορος, ἀλλ' ὁ γρήγορος, εἰ καὶ ἀσύνηθες· ἀντὶ γὰρ τούτου ὁ γρηγορῶν καὶ ὁ νήφων. Δίων οὖν ἐγρηγόρως λέγων ἁμαρτάνει. ἐγρήγορσις μέντοι γράφεται. Ἀριστείδης· μέσως ἔχειν ὕπνου καὶ ἐγρηγόρσεως.

Νεομηνία μὴ λέγε, τοῦτο γὰρ Ἰώνων, ἀλλὰ νουμηνία. Ἀριστοφάνης ἐν νεφέλαις·

ἵν' αἱ θέσεις γίγνοιντο τῇ νουμηνίᾳ.

Νέμω νεμῶ, καὶ νέμω νεμήσω ὡς ἐθέλω ἐθελήσω. ἔστι δὲ τὸ νέμω ἀντὶ τοῦ παρέχω καὶ ἀντὶ τοῦ μερίζω καὶ ἀντὶ τοῦ διοικῶ. Θουκυδίδης ἐν τῇ ὀγδόῃ· τὰ δὲ ἄλλα ἔνεμον κατὰ κράτος τὴν πόλιν. ἔστι δὲ ἀπὸ μὲν τοῦ νέμω νεμῶ τὸ ἔνειμα καὶ ἐνειμάμην, ἀπὸ δὲ τοῦ νέμω νεμήσω τὸ νεμηθέν. Συνέσιος ἐν ἐπιστολῇ· εὔχομαι τὸν γενόμενον νομέα τοῦ βίου, γενέσθαι καὶ τοῦ νεμηθέντος προστάτην.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ναός ἐπὶ θεῶν, σηκός ἐπὶ ἡρώων· οὕτω γὰρ καὶ Πολυδεύκης λέγει.

Ναύκληροι ἐπὶ νηῶν· ναύκραροι δὲ παρ' Ἀττικοῖς οἱ εἰσπραττόμενοι τὰ δημόσια χρήματα. καὶ ναυκραρεῖα οἱ τόποι, ἐν οἷς ἀπέκειντο τὰ τοιαῦτα χρήματα ἢ κτήματα. ἐλέγοντο δὲ ὁμοίως ναύκραροι καὶ οἱ μισθωτοί.

Νότιον μέρος τὸ πρὸς τὸν νότον· καὶ νότιον τὸ δίυγρον. νοτίζειν γὰρ τὸ ὕειν φαμὲν καὶ νοτίδα τὴν ὑγρασίαν, ὡς τοῦ νότου ὑετὸν ἐπάγοντος. Ἀριστείδης ἐν τῷ Παναθηνϊακῷ ὥστ' ἀντὶ νοτίου ταῖς ναυσὶν εἶναι, ἤγουν ἀντὶ πλημμύρας εἰς τὸ ὑπανέχειν τὰς ναῦς. καὶ νοτερὸς ὁ δίυγρος. καὶ Θουκυδίδης· ὁπότε χειμὼν εἴη νοτερός.

Ναυαγία ἡ συντριβὴ τῆς νεώς. Λουκιανὸς ἐν τῷ Ζεὺς τραγῳδὸς· διὰ τοῦτο αἱ ναυαγίαι μυρίαι. ναυάγια δὲ πληθυντικῶς ἐπὶ οὐδετέρου τὰ ἐξ αὐτῆς ὑπὸ τῆς θαλάττης ἐκβρασθέντα. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ὡς δὲ ἑώρα τὴν θάλατταν αἵματι καὶ ροθίῳ ζέουσαν καὶ πάντα νεκρῶν καὶ ναυαγίων μεστά. εὕρηται δὲ καὶ ναυάγιον ὁ τῶν νεῶν κίνδυνος.

Νεογόνον, οὐ νεογνόν.

Νυμφεύτρια κυρίως ἡ προμνήστρια. Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ. ἀναστὰς ἔρχομαι παρὰ τὴν νυμφεύτριαν. καταχρηστικῶς δὲ καὶ ἣν φασι παράνυμφον. τινὲς δὲ καὶ αὐτὴν τὴν νύμφην νυμφεύτριαν λέγουσι. Συνέσιος ἐν ἐπιστολῇ· οὐδὲ γάρ, οἶμαι νομίζεται νυμφευτρίαις βαδίζειν ἐπ' ἐκφοράν.

Τὸ νῦν ἀντὶ τοῦ ἀρτίως, ὃ καὶ νυνί λέγεται, ἐπὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐνεστῶτος ἀεὶ τίθεται, καὶ ἐν ἀρχῇ καὶ ἐν μέσῳ καὶ ἐν τῷ τέλει τοῦ κώλου, ὅπως ἂν ὁ ῥυθμὸς διδῷ· τότε γὰρ μετὰ παρῳχημένου καὶ μέλλοντος, ὅταν συντομίαν ἔχωσιν ἄμφω οἱ χρόνοι καὶ ὥσπερ ἔμφασιν ἐνεστῶτος, ὡς τὸ νῦν ἔτυψα, καὶ, νῦν ἐλθὼν ὄψομαι. καὶ Πλάτων ἐν Φαίδωνι· ὦ Σώκρατες, ὕστατον δή σε προσεροῦσι νῦν οἱ ἐπιτήδειοι. καὶ Ὅμηρος ἐν πέμπτῃ Ἰλιάδος·

νῦν αὖτ' ἔγχεϊ πειρήσομαι, αἴ κε τυχοίμι.

καὶ πάλιν ἐν τρίτῃ Ἰλιάδος·

νῦν μὲν Μενέλαος ἐνίκησεν σὺν Ἀθήνῃ·

εἰ δὲ παράτασιν δηλοῦσι, τότε τὸ νῦν τιθέμενον σολοικισμὸν ποιεῖ, ὡς τὸ νῦν σοφὸς γενήσομαι· δεῖται γὰρ ἡ σοφία χρόνου· τὸ δὲ νῦν, ὅπερ ἀκολουθίαν σώζει προηγουμένου χρόνου δηλοῖ, ἀεὶ ἐπαγόμενόν ἐστιν, οἷον, ἐγὼ μὲν ἐβουλόμην τὰ καὶ τὰ ποιῆσαι, νῦν δὲ τόδε γέγονε· καὶ εἰ ἐποίησα τόδε, τόδε ἂν ἀπηντήκει· νῦν δὲ οὐδὲν ὧν ἐχρῆν γέγονεν ἢ γενήσεται ἢ γίνεται. συνάπτεται γὰρ τοῖς τρισὶ χρόνοις, ὅπως ἂν ἀκολουθίας ὁ λόγος ἔχῃ. ἔστι δὲ καὶ νῦν ἀντὶ τοῦ ποτέ, οἷον, νῦν μὲν ἀγαθὸς δοκεῖ, νῦν δὲ πᾶν τοὐναντίον. χρῶνται δὲ οἱ τραγικοί τε καὶ κωμικοὶ καὶ ἑτέρῳ νυν, λαμβανομένῳ μὲν ἀντὶ τοῦ δή, ἔχοντι δὲ ἔμφασίν τινα χρόνου, ὡς παρὰ Σοφοκλεῖ ἐν Αἴαντι.

σῖγα νυν ἑστὼς [καὶ μέν' ὡς κυρεῖς ἔχων].

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ παρ' Εὐριπίδῃ ἐν Ἑκάβῃ·

σῶσόν νυν αὐτόν.

Νήφει τις, ὅταν ἐκτὸς μέθης ᾖ, σωφρονεῖ, ὅταν ἐκτὸς μανίας ᾖ, γρηγορεῖ, ὅταν ἐκτὸς ὕπνου ᾖ.

Ἀπὸ τοῦ νέμομαι τὸ βόσκω νομὴ ἡ βοσκή, καὶ εὐνομία, ὅταν νομῆς εὖ ἔχωσι τὰ ζῶα· ἀπὸ δὲ τοῦ νέμω τὸ μερίζω νόμος, καὶ διανομὴ ἡ πρὸς πολλοὺς δόσις καθ' ἕνα· ὅθεν καὶ εὐνομία, ὅταν πόλις καλῶς ὑπὸ νόμων διοικῆται.

Νυκτὸς καὶ ἡμέρας Ἀττικοὶ λέγουσιν, ἤγουν ἐπὶ τῆς νυκτὸς καὶ ἐπὶ τῆς ἡμέρας ἐλλειπτικῶς ἔξωθεν· ἢ νύκτα καὶ ἡμέραν, ἤγουν κατὰ τὴν νύκτα καὶ τὴν ἡμέραν. τὸ δὲ νύκτωρ καὶ μεθ' ἡμέραν ἁπλῶς Ἕλληνες.

Νοῦς καὶ αἴσθησις οὐ μόνον τὸ νοοῦν καὶ τὸ αἰσθανόμενον, ἀλλὰ καὶ τὸ νοούμενον καὶ τὸ ὑπὸ αἴσθησιν ὄν, ὡς παρὰ τῷ θεολόγῳ Γρηγορίῳ τὸ νοῦς μὲν ἤδη καὶ αἴσθησις, ἤγουν τὰ νοητὰ καὶ τὰ αἰσθητά. οὐ μόνον δὲ τὸ καθολικὸν ἡ αἴσθησις οὕτω διττῶς λέγεται, ἀλλὰ καὶ ἑκάστη τῶν αἰσθήσεων, οἷον ὅρασις καὶ ἡ ὁρατικὴ δύναμις καὶ τὸ ὁρώμενον, ὡς τὸ ὅρασις ἣν εἶδεν Ἠσαΐας. καὶ ὄσφρησις ἡ ὀσφραντικὴ δύναμις καὶ ἐπὶ τοῦ ὀσφρουμένου, οἷον ἡ τοῦ ῥόδου ὄσφρησις εὐώδης. καὶ γεῦσις ἡ γευστικὴ δύναμις καὶ ἐπὶ τοῦ γευστοῦ, οἷον ἡ γεῦσις τοῦ μέλιτος γλυκεῖα. καὶ ἀκοὴ ἡ ἀκουστικὴ δύναμις καὶ τὸ ἀκουόμενον, ὡς ἐν τῷ· τὰς σὰς ἀγγελίας θείαις μὲν φωναῖς οὐκ ἴσας ἡγοῦμαι, πάσης δ' ἄλλης ἀκοῆς ἀνθρωπίνης νομίζω κρείττους. καὶ ἁφὴ ἡ ἀπ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τικὴ δύναμις καὶ τὸ ὑποπίπτον αὐτῇ, οἷον ἡ ἁφὴ τῶν πτερῶν μαλακὴ, ἡ δὲ πέτρας σκληρά.

Νηρηίς καὶ Νηρεΐς. Ἀριστείδης ἐν τῷ εἰς Ἀχιλλέα πρεσβευτικῷ· τὰς Νηρηίδας τὰς πρὸς μητρὸς συγγενεῖς. Λουκιανὸς ἐν τοῖς ἐναλίοις διαλόγοις· τὸ κῆτος ὑμῶν, ὦ Νηρεΐδες.

Οὐ μόνον ὁ ναύσταθμος, ἀλλὰ καὶ τὸ ναύσταθμον. Θουκυδίδης ἐν τῇ τρίτῃ· ναύσταθμον δὲ μᾶλλον ἦν αὐτοῖς πλοίων καὶ ἀγορᾶς ἡ Μαλέα.

## Ξ

Ξυρέω ξυρῶ Ἀττικοὶ, οὐ ξυράω ξυρῶ. Ἀριστείδης ἐν Περικλεῖ· μὴ λέοντα ξυρεῖν δόξωμεν.

Ξενοδόκος, οὐ ξενοδόχος.

Ξυλισμός ἡ τῶν ξύλων συλλογὴ, ὡς Θουκυδίδης καὶ ἕτεροι.

Ξυστήρ, οὐ ξύστρον.

Ξέναι ξένων, καὶ φίλαι φίλων καὶ ὅσα τριγενῆ, πλὴν τοῦ πόρναι πορνῶν.

Ξένον τὸ ἀλλότριον καὶ τὸ παρηλλαγμένον. Φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν· ξένως ἔχει τῆς λέξεως. καὶ ξενίζω οὐ μόνον τὸ ξένον ὑποδέχομαι, ἀλλὰ καὶ τὸ ἐκπλήττω. ξενίζομαι δέ τινι τὸ εἰς ξενίαν ὑπό τινος δέχομαι. σὺ δὲ ἐπιξενοῦμαι λέγε ἐπὶ τρίτης συζυγίας τῶν περισπωμένων. καὶ ξένισις ἡ ξενοδοκία, ὡς Θουκυδίδης ἐν τῇ ἕκτῃ· ἰδίᾳ ξενίσεις ποιούμενοι. καὶ ξενία τὸ αὐτὸ, ὡς Φίλων ἐν τῷ περὶ Ἰωσήφ· τῶν εἰς τὴν ξενίαν ἡκόντων ἀδελφῶν. καὶ ξενία ὄνομα δίκης κατὰ τῶν ξένων τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐγγραφόντων ἑαυτοὺς εἰς πολίτας ὡς ἔτυχεν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· οὔκουν ξενίαν γέ ἐστι τῶν λόγων καταγνῶναι. ξενία δὲ ἡ ξενιτεία κοινόν.

Ξαίνω τὸ διαλύω, ὡς τὸ ξαίνει ἔρια· καὶ ξαίνω το μαστίζω. Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου· ξαίνει κατὰ τοῦ νώτου πολλάς.

Ξέω ἐπὶ ξύλων, ξύω δὲ ἐπὶ σαρκός, ὡς καὶ ἡ παροιμία· τὸν ξύοντα ἀντιξύειν.

Ξυλίφιον, οὐ ξυλάριον.

Γίνωσκε ὡς οἱ Ἀττικοὶ τὴν σὺν πρόθεσιν ξὺν λέγοντες τῷ σ προστιθέασι τὸ κ· τὸ γὰρ κ τῷ σ κραθὲν ξ γίνεται, οἷον συναυλία ξυναυλια, συμφέρει ξυμφέρει καὶ ὅσα τοιαῦτα.

## Ο

Ὁμόδουλος Ἀττικὸν, οὐ σύνδουλος.

Ὀρεικὸν ζεῦγος, οὐχ ἡμιονικόν. Συνέσιος ἐν ἐπιστολῇ τῇ Τρίτῃ μὲν ἦν Αἰσχίνῃ κειμένῳ· ἐπὶ τὸ ζεῦγος ἀναβιβασαμένη τὸ ὀρεικόν.

Ὄχλος καὶ τὸ πλῆθος καὶ ἡ ὄχλησις· λέγε οὖν ὄχλον καὶ μὴ ὄχλησιν. Ἡρόδοτος ἐν τῇ πρώτῃ· λιπαρεόντων δὲ αὐτῶν καὶ ὄχλον παρεχόντων. καὶ ὀχλῶ καὶ ἐνοχλῶ.

Ὄνθος ἐπὶ βοῶν, οὐ κόπρος. Ὅμηρος ἐν ψ' ῥαψῳδίᾳ Ἰλιάδος.

τῇ ῥα βοῶν κέχυτ' ὄνθος ἀποκταμένων
ἐριμύκων.

Ὄψον οὐ προσφάγιον.

Ὀπτήρ ποιητικώτερον, κατάσκοπος δὲ ῥητορικόν. Σοφοκλῆς ἐν Αἴαντι·

καί μοί τις αὐτὸν ὀπτὴρ εἰσιδών.

Λιβάνιος ἐν τῷ εἰς Κωνστάντιον καὶ Κώνσταντα· κατασκόπων τινῶν κακία.

Τὸ ὅπως καὶ ἀντὶ τοῦ ἵνα καὶ ἀντὶ τοῦ πῶς, οἷον, ὅπως ἔχει σοι τὸ σῶμα; καὶ ἀντὶ τοῦ ἐπεὶ, οἷον, ὅπως δ' εἰς ταὐτὸν ἥκομεν· καὶ ἀντὶ τοῦ ὥσπερ, οἷον, ὅπως ἂν ἐξείη· καὶ ἀντὶ τοῦ οὕτως· Εὐριπίδης ἐν Ἑκάβῃ.

ὁποῖα κισσὸς δρυὸς ὅπως τῆσδ' ἕξομαι.

Ὄϊς τὸ πρόβατον. Ἀριστείδης ἐν δευτέρῳ τῶν ἱερῶν· εὑρίσκει τετοκυῖαν ὄϊν αὐτονυχί. καὶ οἶς μονοσυλλάβως ἐπὶ θηλυκοῦ.

Ὀμοῦμαι, οὐκ ὀμόσω.

Ὄλβιος, οὐ μακάριος.

Ὀψιαίτερον λέγε, μὴ ὀψαίτερον.

Ὄφελον ἀντὶ τοῦ εἴθε, ὅπερ ἀεὶ εὐκτικῷ συντάσσεται ἢ παρεληλυθότι χρόνῳ· εὐκτικῷ μὲν, ὡς τὸ ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου· παρεληλυθότι δὲ, ὡς παρὰ τῷ θεολόγῳ Γρηγορίῳ· ὡς ὄφελόν γε μηδὲ ἦν προεδρία καὶ ἀπαρεμφάτῳ δὲ, ὅτε ἀντὶ τοῦ εἴθε ἔμελλον τίθεται. Ἡρόδοτος ἐν τῇ πρώτῃ· τὸ μήτε ἰδεῖν ὄφελον.

Ὀξίς Ἀττικοὶ, οὐκ ἀγγεῖον ὄξους. Ἀριστοφάνης ἐν Πλούτῳ

ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον.

Ὀρθρεύω καὶ ὀρθεύομαι· Λουκιανὸς ἐν τῷ Μί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κυλλος ἢ ἀλεκτρυών· ὡς ἔχοις ὀρθρευόμενος προανύειν τὰ πολλὰ τῶν ἔργων· ἔστι δὲ ὄρθρος ὁ πρὸ τοῦ λυκαυγοῦς καιρὸς, ἐν ᾧ ἔτι λύχνῳ δύναταί τι χρῆσθαι· Θουκυδίδης ἐν τῇ δευτέρᾳ· τηρήσαντες ἔτι νύκτα καὶ αὐτὸ τὸ περίορθρον· οὐκ ὀρθρίζω. ὀρθριοῦμαι δὲ, οὐκ ὀρθρεύσομαι, ἀλλ' οὐδ' ὀρθρισθήσομαι.

Ὀρχηστρίς, οὐκ ὀρχήστρια.

Ὄμνυμι οὐκ ὀμνύω.

Ὄσφρομαι κάλλιον ἢ ὀσφραίνομαι. Λιβάνιος ἐν τῇ μελέτῃ τοῦ φθονεροῦ. ὄσφρονται τῆς εὐδαιμονίας οἱ κόλακες. ὀσφρόμενος δὲ καὶ ἐπὶ ἐνεστῶτος ἀντὶ τοῦ ὀσφραινόμενος καὶ ἐπὶ μέσου ἀντὶ τοῦ ὀσφρησάμενος. ἔστι γὰρ οὐ μόνον ὄσφρω, ἀλλὰ καὶ ὀσφρέω ὀσφρῶ, οὗ ὁ δεύτερος ἀόριστος ὦσφρον, ὁ μέσος ὠσφρόμην καὶ ὀσφρόμενος· τὸ δὲ ὀσφρησάμενος ἀνάττικον.

Ὄρνιθες ἁπλῶς μὲν πάντα τὰ πετόμενα· ἰδίως δὲ οἱ εἰς μαντείαν συντελοῦντες ὄρνιθες, ἀφ' οὗ καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον ὄρνιν ἔλεγον, οἷον πταρμὸν ἢ παλμὸν ἤ τι τοιοῦτον. καὶ τὴν ἁπλῶς δὲ μαντείαν ὄρνιν ἐκάλουν. Ἀριστοφάνης ἐν Πλούτῳ·

> δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ
> θεοῦ.

ὄρνις καὶ πᾶν τὸ κατὰ τύχην συμβαῖνον. Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

> φεῦ τοῦ συναλλάσσοντος ὄρνιθος βροτοῖς
> δίκαιον ἄνδρα τοῖσι δυσσεβεστέροις.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οἰδίπουν, οὐκ Οἰδίποδα. ὡσαύτως καὶ ὀξύπουν καὶ ταχύπουν καὶ ὠκύπουν καὶ ἀρτίπουν καὶ ἀντίπουν· πόδα μέντοι, οὐχὶ ποῦν.

Οἶσθα κάλλιον ἢ οἶδας.

Ὀστοῦν, οὐκ ὀστέον.

Ὁσημέραι λεγε· ὅσαι δὲ ὧραι.

Ὄστρεια, οὐκ ὄστρεα.

Οὖς Ἀττικοὶ, οὐκ ὠτίον.

Ὀμόρξασθαι καὶ ἀπομόρξασθαι, οὐκ ἐκμάξασθαι.

Καὶ ὅρος καὶ ὅριον.

Τὸ οὐκ ἐπέχει τὴν γλῶτταν δοκιμώτερον τοῦ ἀθυροστομεῖ.

Οἴκων ἐργάτης καὶ τέκτων κάλλιον ἢ οἰκοδόμος.

Ὄρθριος, οὐκ ὀρθρινός.

Ὄψιός, οὐκ ὀψινός

Οσμή Ἀττικὸν, ὀδμή δὲ Ἰωνικόν. καὶ Ξενοφῶν τοίνυν Ἰωνικῷ ἔθει ὀδμή λέγει.

Οὐδείς Ἀττικοὶ, οὐθείς Ἕλληνες·

Ὀπωρῶν ὠνήτωρ οἱ ἀγοραῖοι· σὺ δὲ ὀπωρώνης λέγε, ὡς καὶ βοώνης καὶ ὀψώνης. Λιβάνιος ἐν τῇ τοῦ φθονεροῦ μελέτῃ· ἕωθεν ὀψώνης κάτεισιν.

Ὀνυχίζειν καὶ ἐξονυχίζειν ταυτόν. [Συνέσιος ἐν τῷ Δίων ἢ περὶ τῆς κατ' αὐτὸν διαγωγῆς· ἀνάγκην ἔχων βιβλίον ἐξονυχίζειν.] τίθεται δὲ ἐπὶ τοῦ [πρὸς μνήμην διανίστασθαι ἢ] ἀκριβολογεῖσθαι. τὸ δ' ἀπονυχίζειν τὸ τὰς ὑπεραυξήσεις τῶν ὀνύχων ἀφαιρεῖν σημαίνει.

Οἰκίας δεσπότης ἐρεῖς, οὐχ ὡς Ἄλεξις οἰκοδεσπότης.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐδηποτοῦν μὴ λέγε, ἀλλ' οὑτινοσοῦν.

Οἰκοδομὴ οὐ λέγουσιν 'Αττικοί, ἀλλ' οἰκοδόμημα καὶ οἰκοδομία.

Οὐ χρὴ κατ' ὄναρ λέγειν, ὥσπερ οὐδὲ καθ' ὕπαρ, ἀλλὰ ὄναρ, ὡς καὶ ὕπαρ· οἷον, ὄναρ εἶδον τὸν δεῖνα· ἢ ἐξ ὄψεως ὀνείρου τόδε λέγει τις.

Τὸ ὀξὺ ἐπὶ μὲν μαχαίρας καὶ ὀφθαλμῶν λεγόμενον ἐναντίον ἔχει τὸ ἀμβλύ· ἐπὶ δὲ τῶν μετεχόντων ὀξώδους ποιότητος, ἔνθα δὴ τὸ ἀρσενικὸν οὐκ ὀξύς, ἀλλὰ ὀξώδης καὶ ὀξίνης, ἐναντίον ἔχει τὸ γλυκύ· ἐπὶ δὲ φωνῆς τὸ βαρύ· τὸ δὲ ὀξέως ἐμηνύθη καὶ ὀξέως ἀφῖκτο ἐναντίον ἔχει τὸ βραδέως.

Τὸ οὐδέποτε καὶ ἐπὶ τῶν τριῶν χρόνων· τὸ [δὲ] οὐδεπώποτε ἐπὶ παρῳχημένου μόνον, οἷον οὐδεπώποτε ἐποίησα. Λουκιανὸς ἐν τοῖς ἐναλίοις· οὐπώποτε πομπὴν ἐγὼ μεγαλοπρεπεστέραν εἶδον ἐν τῇ θαλάσσῃ.

Ὄφλημα τὸ ἐκ καταδίκης κυρίως· ὀφείλημα τὸ ἐκ δανείου καὶ τὸ ἁπλῶς χρέος. 'Αριστείδης ἐν τῷ εἰς τὸ Αἰγαῖον πέλαγος· τῷ Αἰγαίῳ τὸ ὀφείλημα ἀποδώσομεν.

Καὶ ὄφλω καὶ ὀφλισκάνω δίκην· ὀφείλω δὲ ὀφειλήσω, ὃ ἐδανεισάμην. Αἰσχίνης· ὃς ὠφείλησεν ἐκείνῳ πλείους ἢ τριάκοντα μνᾶς.

Ὄχθη ἐπὶ ποταμοῦ· ὄχθος δὲ ἐπὶ ἁπλῶς ἐπαναστήματος γῆς.

Φασὶν οἱ ἀκριβεῖς τεχνικοὶ τὸ μὲν οἶμαι ἐπὶ ὁμολογουμένου τίθεσθαι, τὸ δὲ οἴομαι ἐπὶ ἀμφιβόλου·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁμώνυμος καὶ τοῦ δεῖνος καὶ τῷ δεῖνι. καὶ ἰσόρροπος ὡσαύτως.

Τὸ ὅστις ἀόριστόν ἐστι, τὸ δὲ ὅστις ποτὲ ἀμφιβόλου λόγου, οἷον, ὅστις ποτὲ ἦν ὁ παράδεισος, ἤγουν εἴτε νοητὸς εἴτε αἰσθητός.

Οἰκῶ οὐ μόνον τὸ κατοικῶ, ἤγουν οἰκῶ τόνδε τὸν τόπον ἢ τήνδε τὴν οἰκίαν, ἤγουν ἐν αὐτοῖς κατοικῶ, ἀλλὰ καὶ τὸ ὡσανεὶ διοικῶ. Αἰσχίνης· τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθήσειν. οἰκίζω δέ τόπον τὸ οἰκεῖσθαι ποιῶ καὶ οἰκίζω τινὰ ἐν αὐτῷ. καὶ οἰκεῖται τόπος ἤγουν κατοικεῖται· οἰκίζεται δὲ ἤγουν εἰς κατοίκησιν ἐνεργεῖται καὶ κατάσκευάζεται.

Ὄζος καὶ ὁ κλάδος καὶ ἡ τούτου ἀρχὴ, ὅθεν φύεται.

Ὀλυμπιακός Ἀττικοὶ, οὐκ Ὀλυμπικός. Θουκυδίδης ἐν τῇ πέμπτῃ· ἦν ἐν τῷ Ὀλυμπικῷ νόμῳ Ἠλεῖοι κατεδικάσαντο αὐτῶν. καὶ αὖθις ἐν τῇ αὐτῇ· ἐν ταῖς Ὀλυμπικαῖς σπονδαῖς ἐσπέμψαι.

Παρὰ τοῖς λογογράφοις μὲν οὐδείς, οὐδ᾽ ὁστισοῦν· καὶ μηδείς, μηδ᾽ ὁστισοῦν· οὐδεμία, οὐδ᾽ ἡτισοῦν, καὶ μηδεμία, μηδ᾽ ἡτισοῦν· οὐδέν, οὐδ᾽ ὁτιοῦν, καὶ μηδέν, μηδ᾽ ὁτιοῦν· οὐθέν, οὐθ᾽ ὁτιοῦν, καὶ μηθέν, μηθ᾽ ὁτιοῦν. παρὰ δὲ τοῖς ποιηταῖς οὔτις καὶ μήτις ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ, καὶ οὔτι καὶ μήτι ἐπὶ οὐδετέρου. γίνωσκε μέντοι, ὡς οὐδ᾽ ἂν εἷς καὶ μηδ᾽ ἂν εἷς δοκιμώτερον λέγειν ἢ οὐδεὶς ἂν καὶ μηδεὶς ἄν. Ἀριστοφάνης ἐν Πλούτῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐδ' ἂν εἷς ἔτι θύσειεν.

ὡσαύτως καὶ μὴ ἂν ἕνα, μηδένα τῶν πάντων, καὶ εἷς ἂν οὐδεὶς τῶν ἁπάντων, ἢ μηδένα τῶν ἁπάντων, καὶ μηδεὶς τῶν πάντων. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ οὐδετέρου.

Τὸ οὕτως ἐπαγομένου μὲν φωνήεντος μετὰ τοῦ σ ἐκφέρεται, οἷον οὕτως ἔχω δόξης· ἐπαγομένου δὲ συμφώνου χωρὶς τοῦ σ, οἷον γέγονεν οὕτω ταῦτα. εἰ δὲ εὕρηται καὶ ἐπαγομένου συμφώνου μετὰ τοῦ σ, ἀλλ' ἁμάρτημα τῶν γραφέων ἐστίν. γίνωσκε δὲ ὅτι, ἐὰν μετὰ τοῦ οὕτω [τὸ] τοί ἢ δή τοι θήσεις, ὡραϊσμὸν ἐργάσῃ τοῦ λογου. Φιλόστρατος· οὕτω τοι ἔμπνους. Λιβάνιος· οὕτω δὴ κάλλους ἔχων. Συνέσιος ἐν τῷ ὑπὲρ φαλάκρας· οὕτω δή τοι λαμπρόν.

Τὸ οὔπω ἀναιρεῖ τὸ ἐνεστὸς καὶ ἐπαγγέλλεται το μέλλον, οἷον· οὔπω ἐστὶ καιρός, ἤγουν ἀκμὴν οὐκ ἐστὶν, ἀλλὰ ἔσται δηλονότι. τὸ δὲ οὐκέτι ἀναιρεῖ τὸ μέλλον, οἷον, οὐκέτι ἔσται καιρός, ἤγουν ἀπὸ τοῦ νῦν οὐκ ἔσται, ἀλλὰ παρῆλθε δηλονότι.

Ὀψέ οὐ μόνον ἀντὶ τοῦ μόλις, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐν ὑστέρῳ μετὰ προσθήκης ὀνόματος χρονικοῦ, οἷον, ὀψὲ τῆς ἡμέρας. χωρὶς δὲ προσθήκης ἀντὶ [τοῦ] ἑσπέρας καθαρῶς παρὰ Θουκυδίδῃ, οἷον· καὶ ἡ μὲν μάχη ἐτελεύτα ἕως ὀψέ.

Ὀρῶν, οὐκ ὀρέων.

Οὐ μόνον ὅσον οὔπω πάρεστι φαμὲν, ἀλλὰ καὶ ὅσον οὐ πάρεστιν, ὡς ὁ αὐτὸς Θουκυδίδης· ἀγγέλλεται αὐτοῖς τὰς ἐκ Πελοποννήσου ναῦς ὅσον οὐ παρεῖναι.

Ἐξοστρακίζομαι καὶ ὀστρακίζομαι, ὡς ὁ αὐτὸς ἐν τῇ δευτέρᾳ· ἔτυχε γὰρ ὠστρακισμένος, καὶ ἔχων δίαιταν ἐν Ἄργει. καὶ ἐν τῇ ἕκτῃ· μοχθηρὸν ἄνθρωπον ὠστρακισμένον· ἐγένετο δὲ ὁ ὀστρακισμὸς οὐκ ἐπὶ τῶν τυχόντων, ἀλλ' ἐπὶ τῶν ἐνδόξων καὶ γένει λαμπρῶν. παρήχθη μέντοι ἡ λέξις ἀπὸ τῶν ὀστράκων, ἐν οἷς γράφοντες ἐδίδουν τὰς καταδίκας τοῖς ὑπευθύνοις.

Ὁρμίζω τὸ ἐλλιμενίζω καὶ ὁρμέω ὁρμῶ· Θουκυδίδης πολλάκις. Εὐριπίδης ἐν Ἑκάβῃ.

ἀκταῖσιν ὁρμεῖ.

Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· τοῖς αἰγιαλοῖς ἐφορμούντων. καὶ πάλιν ἐν τῷ αὐτῷ· ἐπὶ δυοῖν ὁρμεῖν ἔδοξαν οἱ Ἕλληνες. ἐντεῦθεν δοκεῖ παρῆχθαι καὶ τὸ ὑφορμῶ ἤγουν ὑποπτεύομαι, ἐκ μεταφορᾶς τῶν ὑπὸ τοῖς ὅρμοις κρυπτομένων πετρῶν καὶ ὑπόπτων οὐσῶν τοῖς καταίρουσιν. Συνέσιος ἐν ἐπιστολῇ τῇ Λύσαντες ἐκ Βενδιδείου· καὶ ὑφώρμει δέος οὐκ ἔλαττον. καὶ Λιβάνιος ἐν προθεωρίᾳ μελέτης τῆς Ἔχων τις γυναῖκα καὶ ὢν ὑπὸ πατρὶ ἀπεδήμησε· δεῖ τὸ ὑφορμοῦν θεραπεῦσαι, ἤγουν τὸ ὑποπτευόμενον.

Ὅμορος ἐπὶ οἰκίας καὶ χωρίου· ἄλλοθι δὲ οὐκ ἐρεῖς.

Ὁμότεχνος, οὐ σύντεχνος.

Οἰκότριψ, οὐκ οἰκοτραφής.

Ὁπωσοῦν Ἕλληνες ἁπλῶς· ὁπηοῦν καὶ ὁπωστιοῦν καὶ ὁπητοιοῦν Ἀττικοί.

Ὁ δεῖνα ἐπὶ τρίτου προσώπου μόνον λαμβάνεται καὶ ἐπὶ τῶν τριῶν γενῶν. Δημοσθένης ἐν τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περὶ τοῦ στεφάνου· ὁ δεῖνα τοῦ δεῖνος τὸν δεῖνα εἰσήγγειλε. Γρηγόριος ὁ Θεολόγος. ἐγὼ τοῦ δεῖνος καὶ ἡ δεῖνά μοι μήτηρ. Φιλόστρατος ἐν τῷ τοῦ Ἀπολλωνίου βίῳ. τὸ δεῖνα γιγνομένη καὶ τὸ δεῖνα αὖ.

Τὸ οὖν καὶ τὸ δή καὶ μόνα καθ' ἑαυτὰ τίθεται καὶ ὁμοῦ ἐκ παραλλήλου, θατέρου τούτων ἢ ἡγουμένου ἢ ἑπομένου. οἷον, ὅσα οὖν γέγονε. καὶ ὅσα δὴ γέγονε. καὶ πάλιν, ὅσα οὖν δὴ γέγονε καὶ ὅσα δὴ οὖν γέγονεν.

Ὅπου καὶ ὅπη διὰ τοῦ **η** ἐπὶ στάσεως τίθενται, οἷον, ὅπη εὑρίσκομαι, καὶ ὅπου οἰκῶ, καὶ ὅποι διὰ **τοῦ ο καὶ ι** ἐπὶ κινήσεως, οἷον ὅποι ἔρχομαι. περὶ δὲ τοῦ ποῦ καὶ πῇ διὰ τοῦ **η** τοῦ τόπου δηλοῦντος (σημαίνει γὰρ καὶ τὸ πῶς) καὶ τοῦ ποῖ διὰ διφθόγγου οὕτω φρόνει· τὸ μὲν γὰρ ἐπὶ κινήσεως, ὡς τὸ

ποῖ ἔβη Ἀνδρομάχη;

παρ' Ὁμήρῳ ἐν ζ' Ἰλιάδος, καὶ

ποῖ τις ἂν φύγοι;

παρ' Εὐριπίδῃ ἐν Ὀρέστῃ· καὶ ποῖ γῆς ἔδυτε παρ' Ἀριστείδῃ ἐν μονῳδίᾳ τῇ ἐπὶ Σμύρνῃ. καὶ τὸ πῇ δὲ διὰ τοῦ **η** ἐπὶ κινήσεως, ὡς τὸ

πᾶ βῶ;

παρ' Εὐριπίδῃ ἐν Ἑκάβῃ. τὸ δὲ ποῦ ἐπὶ στάσεως, ὡς παρ' Ὁμήρῳ·

ποῦ δεῦρο κιὼν λίπες Ἕκτορα;

καὶ ποῦ γῆς μονῳδῶ παρ' Ἀριστείδῃ ἐν τῇ ἐπὶ Σμύρνῃ μονῳδίᾳ.

Ὀρειάλωτον μὴ εἴπῃς, βάρβαρον γάρ, ἀλλ' ἐν ὄρει πλανώμενον. τὸ γὰρ ἁλωτόν οὐ τὸ πλανώμενον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δηλοῖ, ἀλλὰ τὸ κρατηθὲν, ὡς ἔχει καὶ τὸ δοριάλωτον.

Οἴαξ [καὶ] τὸ ἄκρον τοῦ πηδαλίου· καὶ ὅλον τὸ πηδάλιον.

Ὥσπερ οὑτοσί, οὕτω καὶ οὑτοιί, ὡς τὸ τρισμύριοι δὲ οὑτοιΐ [παρ' Ἀριστείδῃ] τὸν τῶν ἀνδροφόνων ἀπολώλασι τρόπον. καὶ ἐπὶ θηλυκοῦ καὶ [ἐπὶ] οὐδετέρου ὡσαύτως.

Ὀφθαλμιῶ τὸ τοὺς ὀφθαλμοὺς νοσῶ Ἀριστοφάνης ἐν βατράχοις.

ἀλλ' ἔτυχον ὀφθαλμιῶν.

καὶ ὀφθαλμία ἡ τοιαύτη νόσος. [Συνέσιος ἐν ἐπιστολῇ τῇ Πῶς δοκεῖτε δέδηγμαι τὴν καρδίαν· ὅτι δεινῇ τινι καὶ πέρα δεινῆς ὀφθαλμίας παλαίεις.] ἔστι δὲ καὶ ὀφθαλμιᾶν τὸ ἀδίκοις ὀφθαλμοῖς γυναῖκα ὁρᾶν· ὁ γὰρ τοιοῦτος οὐκ ἐν τῷ καθεστηκότι τοὺς ὀφθαλμοὺς ἔχει, ἀλλ' οἷον νοσοῦντας ὑπ' ἔρωτος.

Καὶ οἰμώζω καὶ οἰμώττω. Ἀριστοφάνης ἐν Πλούτῳ.

οἴμωζ' ἄρα σύ.

Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης· οἰμώττουσι δὴ τοῖς ὧδε πεπραγμένοις.

Οἷον τὸ ὁποῖον· καὶ οἷον ἀντὶ τοῦ ὡσανεί, ὁ καὶ οἱονεὶ λέγεται· καὶ οἷον θαυμαστικὸν καὶ σχετλιαστικόν.

Ὁμιλητὴς ὁ μαθητής, καὶ ὁμιλητικός. Φιλόστρατος ἐν τῷ Ἀπολλωνίου βίῳ· ὅμοιον τοῦτο οἱ ὁ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μιλητικοὶ ἡγοῦντο καὶ ἐτίμων αὐτὸν ὡς ἐκ Διὸς ἥκοντα.

Ὄψις καὶ ὁ ὀφθαλμὸς καὶ αὐτὴ ἡ θεωρία. Φιλόστρατος· τὰς ὄψεις ἀνακοπείς.

Ὀψοποιός καὶ ὀψοποιικός καὶ ὀψοποιικὸν πρᾶγμα καὶ ὀψοποιία καὶ ὀψοποιικὴ κάλλιον ἢ ὀψοποιητικὸς καὶ ὀψοποιητική. Πλάτων ἐν Γοργίᾳ· ἓν δὲ καὶ ἡ ὀψοποιικὴ, ὃ δοκεῖ μὲν εἶναι τέχνη. καὶ αὖθις ἐν τῷ αὐτῷ· ἀκρίτων ὄντων τῶν τε ἰατρικῶν καὶ ὑγιεινῶν καὶ ὀψοποιικῶν· ὃ μὲν οὖν ἐγώ φημι τὴν ρητορικὴν εἶναι, ἀκήκοας, ἀντίστροφον ὀψοποιίας ἐν ψυχῇ, ὡς ἐκεῖνο ἐν σώματι.

Οὐ μόνον οὐδεὶς καὶ μηδείς, ἀλλὰ καὶ οὐδένες καὶ μηδένες καὶ ἐπὶ τῶν ἄλλων πτώσεων τῶν πληθυντικῶν Ἀττικοὶ λέγουσι. τὸ οὐδαμοί Ἡρόδοτος ὡς Ἰωνικὸν, ὡς ἐν τῇ πρώτῃ· ἐβουλεύσαντο δὲ αὐτοῦ μεταδοῦναι μηδαμοῖσι ἄλλοισιν Ἰώνων, οὐδ' ἐδεήθησαν δὲ οὐδαμοὶ μετασχεῖν.

Καὶ ὅμοιον τῷ δεῖνι καὶ ὅμοιον τοῦ δεῖνος. ὁ αὐτὸς ἐν τῇ τρίτῃ· ἔστι δὲ καὶ ταῦτα ὁμοῖα τοῦ Ἡφαίστου. ὡσαύτως καὶ ἴσον τῷ δεῖνι καὶ ἴσον τοῦ δεῖνος.

Ὅπλα οὐ μόνον τὰ κοινῶς ἅρματα, ἀλλὰ καὶ τὰ εἰς ἑτέραν τινὰ κατασκευὴν συντελοῦντα. Ἡρόδοτος ἐν τῇ ἑβδόμῃ· καὶ ὕπερθε τῶν ὅπλων τοῦ τόνου. καὶ αὖθις ἐν τῇ αὐτῇ· παρεσκευάζοντο δὲ καὶ ὅπλα ἐς τὰς γεφύρας.

Οἰκέται οὐ μόνον οἱ δοῦλοι, ἀλλὰ καὶ πάντες οἱ ἐν τῷ οἴκῳ, γυνὴ καὶ τέκνα. ὁ αὐτὸς ἐν τῇ ὀγδόῃ·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἢν κομίσας τοὺς ἱκέτας οἰκέῃ ἐκείνῃ, ὥστε ὑποδεξάμενον τοὺς λόγους τὸν Πανιώνιον κομίσαι τὰ τέκνα καὶ τὴν γυναῖκα.

[Τὸ οὐκ ἂν ἀεὶ ἐπὶ εὐκτικοῦ τίθεται, οὐδέποτε δὲ ἐπὶ ὑποτακτικοῦ, οἷον τὸ τοῦ Σοφοκλέους·

οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτόν.

τὸ δὲ ὅστις καὶ εἴ τις καὶ εἴ τι μετὰ τοῦ ἂν τιθέμενα καὶ ἐπὶ εὐκτικοῦ [καὶ ἐπὶ ὑποτακτικοῦ] τίθενται. Ἀριστείδης ἐν τῷ περὶ ὁμονοίας Ῥοδίων ἄμφω δῆλα ποιεῖ λέγων· οἶμαι δὲ ἅπαντας ἂν ὑμᾶς συμφῆσαι, ὥσπερ τῶν ἐν δικαστηρίῳ λόγων τούτους ἀληθεστάτους ἡγεῖσθε, ὧν ἂν πλεῖστοι καὶ γνωριμώτατοι μάρτυρες εἶεν, οὕτως ἂν καὶ τῶν εἰς συμβολὴν ἡκόντων, οἷς ἂν πλεῖστοι καὶ σπουδαιότατοι μάρτυρες ὦσι. τούτοις μάλιστα χρῆναι πιστεύειν.]

## Π.

Παῖσαι Ἀττικοί, οὐχὶ παῖξαι. Ἀριστοφάνης ἐν Πλούτῳ.

βούλει διὰ χρόνου πρός με παῖσαι.

Προστροπὴ ὁ μολυσμός. Συνέσιος ἐν ἐπιστολῇ· ὁ θίγων ἐναγοῦς ἀπολαύει τῆς προστροπῆς. μίασμα δὲ οἱ ῥήτορες γράφουσι καὶ οὐ προστροπή. τὸ δὲ μολυσμὸς κοινόν· εἰ καὶ Συνέσιος καὶ τοῦτο λέγει παρὰ τῇ αὐτῇ ἐπιστολῇ· ὁ γὰρ μολυσμὸς διαδόσιμος γίνεται.

Πράττω πράξω πέπραχα ἔπραξα καὶ οἱ ἐξ αὐτῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χρόνοι μετὰ μὲν τῆς τοῦ εὖ ἢ κακῶς προσθήκης [ἢ τοῦ βέλτιον ἢ τοῦ χεῖρον] ἤ τοιούτου τινὸς ἄλλου πάθος δηλοῦσι, χωρὶς δὲ προσθήκης ἐνέργειαν· τὸ δὲ πέπραγμα καὶ οἱ ἐξ αὐτοῦ χρόνοι καὶ μετὰ προσθήκης καὶ χωρὶς προσθήκης ἀεὶ πάθος ἐμφαίνουσι.

Πεπληγὼς καὶ ἀντὶ τοῦ πλήξας καὶ ἀντὶ τοῦ πληγείς. ἔστι δὲ τὸ μὲν ποιητικὸν, ὡς τὸ ἀεικέϊ πληγῇ πεπληγὼς παρ' Ὁμήρῳ, τὸ δὲ ἀντὶ τοῦ πλήξας λογογραφικόν.

Πτηνόν λέγε· τὸ δὲ πετεινὸν ἀδόκιμον.

Πηχέων, οὐ πηχῶν.

Πλέων καὶ κατάπλεων δοκιμώτερον ἢ πλῆρες.

[Πεπράξομαι ἢ πραχθήσομαι,] καὶ πεπράσομαι ἢ πραθήσομαι.

Πλεῖν ἢ μύριοι Ἀττικώτερον ἢ πλείους ἢ μύριοι. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἀποπατησόμενοί γε πλεῖν ἢ μύριοι.

Καὶ

Καὶ πλημμελεῖν καὶ ἐξυβρίζειν ἐρεῖς. λαμβάνεται δὲ τὸ ἐξυβρίζειν καὶ ἐπὶ πλημμυροῦντος ποταμοῦ καὶ τὰ γειτονοῦντα παρασύροντος.

Πιστεύω καὶ πέποιθα καὶ θαρρῶ καὶ θαρσῶ, καὶ θάρρος καὶ θάρσος· πεποίθησις δὲ οὐκέτι, ἀλλὰ πίστις καὶ πεποιθέναι.

Προτέλεια, οὐ προμύησις.

Παροψίδα τὴν ποιὰν μάζαν καὶ τὸ ὄψον Ἀττικοί· ἐπὶ δὲ κύλικος ἢ τρυβλίου μὴ λέγε, ὥς τινες.

Πρωὶ καὶ ὀψέ, οὐ πρωίας καὶ ὀψίας. Πλάτων ἐν

Φαίδωνι· ἀνεῴγετο γὰρ οὐ πρωΐ. ἔστι δὲ πρωΐ καὶ ἀντὶ τοῦ πρὸ τοῦ δέοντος καιροῦ. Θουκυδίδης ἐν τῇ τετάρτῃ· πρωὶ ἐσβαλόντες καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος ἐσπάνιζον τροφῆς τοῖς πολλοῖς.

Καὶ παραιροῦμαι καὶ ἀφαιροῦμαι· ἀφαίρεσις δὲ μόνον, οὐ παραίρεσις.

Παραιτοῦμαι τὸ ἀφίημι, ὡς τὸ παρῃτήσατο τὴν ἀρχήν. παραιτοῦμαι τὸ ἀπολύω καὶ ἐλευθερῶ, ὡς τὸ παραιτοῦμαί σε μέμψεως. παραιτοῦμαι τὸ ἀποπέμπω, ὡς τὸ παραιτοῦμαί σε τῆς οἰκίας. παραιτοῦμαι τὸ συγγνώμην αἰτῶ· καὶ τὸ ἀπολογοῦμαι. Ἀριστείδης ἐν τῷ ὑπὲρ τῶν τεσσάρων· παραιτεῖσθαι μὲν οὐκ οἶδ' ὅτι δεῖ περὶ τῶν αὐτῶν πολλάκις. καὶ παραίτησις ἡ συγγνώμης αἴτησις καὶ ἡ ἀπολογία.

Τὸ πόθεν ἐνίοτε μὲν ἐστιν ἐρωτηματικὸν καὶ λαμβάνεται ἀντὶ τοῦ ἀπὸ ποίου τόπου ἢ ἀπὸ ποίας αἰτίας· ἐνίοτε δὲ καὶ ἀπορηματικὸν, ὅτε καὶ ἀντὶ τοῦ οὐδαμῶς λαμβάνεται, ὡς παρ' Εὐριπίδῃ ἐν Ἑκάβῃ·

ὡς μὲν ἀξίαν, πόθεν ;

Καὶ προὔτρεψε καὶ προὐτρέψατο.

Παρῴκισμαι Ἀττικοὶ, οὐ παρῳκίσθην.

Πλειστηριάζειν τὸ ὑπερβάλλειν τῇ τιμῇ.

Πύραυνος καὶ πύραυγος τὸ περιπετόμενον τοῖς λύχνοις ζωύφιον.

Προνομεύειν τὸ κατατρέχειν καὶ σκυλεύειν· καὶ προνομεία ἡ σκύλευσις. οὐχ εὑρίσκεται δὲ οὔτε τὸ προνομεύειν οὔτε ἡ προνομεία παρὰ ῥήτορσιν, ἀλλ' ἀντὶ τούτων ληΐζεσθαι καὶ κατασύρειν καὶ κατα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δρομή· τὰ δὲ πράγματα λεία καὶ σκῦλα πληθυντικῶς καὶ λάφυρα· λαφυραγωγῶ δὲ καὶ λαφυραγωγία ἀδόκιμα.

Πεπωλέμωται καὶ ἐκπεπολέμωται ὁ εἰς ἔχθραν προαχθείς τινι καὶ πολέμιος γενόμενος· ἐξεπολέμωσε δὲ ὁ πολέμιόν τινα ἑτέρῳ ποιήσας· πεπολέμηται δὲ ὁ πολεμηθείς.

Πνεύμων οἱ πλεῖστοι· Ἀριστοτέλης δὲ μόνος πλεύμων καὶ πολλαχοῦ.

Πειρῶ ὡς ἐπιτοπολὺ τὸ συννεύω αἰτιατικῇ συντασσόμενον. εὕρηται δὲ καὶ ἀντὶ τοῦ δοκιμάζω αἰτιατικῇ καὶ αὐτό, ὡς παρὰ τῷ θεολόγῳ Γρηγορίῳ ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ· ἄλλον τινὰ πειρᾶν δεῖ τῶν ἀγενεστέρων. καὶ πρὸς γενικὴν παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ ἀπόπειραν ποιοῦμαι, ὡς τὸ πειράσαντες τοῦ χωρίου. καὶ ἀντὶ τοῦ δοκιμάζω δὲ παρ' αὐτῷ πολλάκις εὑρίσκεται. πειρῶμαι δὲ ἐπιτοπολὺ μὲν τὸ ἀπόπειραν ποιοῦμαι, ἅπαξ δὲ καὶ τὸ συννεύω, ὡς παρὰ Πινδάρῳ· ἀμφοτέρα [δὲ] γενικῇ. καὶ πειρῶμαι τὸ συννεύομαι. Θουκυδίδης ἐν τῇ ἕκτῃ· πειραθεὶς δὲ ὁ Ἁρμόδιος ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου καὶ οὐ πεισθείς. καὶ πείρασις ἡ σύννευσις, ὡς ὁ αὐτὸς ἐν τῇ αὐτῇ· ἀπαρνηθέντα τὴν πείρασιν.

Πέταμαι οὐδεὶς τῶν ῥητόρων [εἶπεν], ἀλλὰ πέτομαι.

Πλινθίον οὐδεὶς Ἀττικίζων εἶπεν, ἀλλὰ πλαίσιον· Ἀριστείδης ἐν τῷ περὶ ὁμονοίας ταῖς πόλεσιν· ἀνέχει [μὲν] γὰρ ἐν πλαισίῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Παρασημαίνομαι καὶ ἐπισφραγίζομαι τὸ σφραγῖδα ἐπιτίθημι καὶ ἀσφαλίζομαι. ἔστι κάλλιον τὸ ἐπισημαίνομαι τοῦ ἐπισφραγίζομαι.*

*Παρίσταται καὶ ἀντὶ τοῦ πλησίον ἵσταται· παρίσταται ἀντὶ τοῦ ὡς δοῦλος ἵσταται. παρίσταται καὶ ἀντὶ τοῦ συμβαίνει καὶ ἐπέρχεται, ὡς τὸ παρίσταταί μοι θαρρεῖν τε καὶ δεδιέναι παρ' Ἀριστείδῃ ἐν τῇ πρὸς τοὺς βασιλέας ἐπιστολῇ.*

*Παράδειγμα ἐπὶ ἐμψύχου· παραβολὴ ἐπὶ ἀψύχου.*

*Προβολὴ καὶ αὐτὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ὡς Ἑρμογένης φησὶ, καὶ ἡ κατὰ τῶν ἀσεβούντων ἐν τοῖς Διονυσίοις κατηγορία. καταχρηστικῶς δὲ καὶ ἡ περὶ πάσης δίκης κατηγορία, ὡς Αἰσχίνης· δημοσίᾳ προβολὰς ποιούμεθα.*

*Πωλητήριον, οὐ πρατήριον· πρᾶσις δὲ, οὐ πώλησις. Λιβάνιος ἐν ἐπιστολῇ· ὁρῶν σε μαχόμενον περὶ τῆς πράσεως καὶ τῆς τῶν ῥητόρων φυγῆς.*

*Πειραιῶς Ἀττικὸν, Πειραιέως κοινόν.*

*Πλάνος κάλλιον ἢ πλάνη, ὡς ἄλλοι τε πολλοὶ καὶ Ἰσοκράτης· τοὺς φυγαδικοὺς πλάνους.*

*Παραφρονῶ καὶ τὸ μαίνομαι καὶ τὸ ἀνοηταίνω ἁπλῶς. Ἀριστοφάνης ἐν Πλούτῳ·*

*δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.*

*Οὐ μόνον πᾶς ὁστισοῦν, ἀλλὰ καὶ πᾶς τις ὁστισοῦν εὕρηται ἐκ παραλλήλου.*

*Παιδίσκην καὶ τὴν ἐλευθέραν καὶ τὴν δούλην Ἀττικοί. ὡσαύτως καὶ παιδισκάριον. Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ· τίς ἄνευ παιδισκαρίων.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπὶ μόνης δὲ τῆς δούλης οἱ ἁπλῶς Ἕλληνες χρῶνται τῇ παιδίσκῃ. ὡσαύτως παιδάριον καὶ τὸ θυγάτριον Ἀττικοί· μόνον δὲ τὸ ἄῤῥεν Ἕλληνες.

Πάντοτε οὐδεὶς τῶν Ἀττικῶν, ἑκάστοτε δέ.

Παρασχήσομαι κάλλιον ἢ παρέξομαι, παρέξομαι δὲ ἢ παρέξω.

Πανοικὶ οὐδεὶς τῶν δοκίμων, πανοικεσίᾳ δὲ καὶ πανοικησίᾳ. Δι άνιος ἐν ἐπιστολῇ· ἔρρωσο πανοικεσίᾳ. Θουκυδίδης ἐν τῇ δευτέρᾳ· πανοικησίᾳ γενόμενοί τε καὶ οἰκήσαντες.

Πόρκους Ἀττικοὶ λέγουσιν, οὓς κύρτους Ἕλληνες.

Προστυχὴς ἐγενόμην ἄμεινον ἐρεῖς ἢ ἐνέτυχον.

Πεντετηρὶς καὶ πεντέμηνον Ἀττικοί· πενταετηρὶς καὶ πεντάμηνον Ἑλληνικόν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· οὐδ' εἰς τὴν ἐπιοῦσαν πεντετηρίδα· ὡσαύτως ἔχει καὶ τὸ πεντέκλινον καὶ πεντάκλινον.

Πίομαι καὶ πιόμενος καὶ πῖθι, ἢ ποιοῦμαι καὶ πιούμενος καὶ πίε. [Λουκιανὸς ἐν τῷ δευτέρῳ τῶν ἀληθινῶν· νῦν μὲν αὐτὸν πιόμενον τοῦ ἐλλεβόρου.]

Παρασίτους καὶ τοὺς δημοσίᾳ σιτουμένους ἐν τῷ πρυτανείῳ Ἀττικοί, οὐ μόνον τοὺς ἐν ταῖς τῶν πλουσίων τραπέζαις παρατρεφομένους κόλακας.

Προσωπεῖα τὰ ὑπὸ τῶν ὑποκριτῶν ἐπιτιθέμενα τοῖς προσώποις. λέγεται δὲ ταῦτα καὶ πρόσωπα.

Πὺξ ἐνάλλεται λέγε καὶ μὴ πυκτικῶς. Συνέσιος ἐν ἐπιστολῇ [τῇ Πολλὰ κἀγαθὰ γένοιτο τοῖς ἱερεῦσιν]· ὥσπερ πὺξ ἐνθορών.

Παλίμβολος, οὐκ ἀλλοπρόσαλλος· ποιητικὸν γάρ.

Παρρήλλαξα οὐ μόνον τὸ ἐνήλλαξά τι, ἀλλὰ καὶ

τὸ παρῆλθον. Συνέσιος ἐν [τῇ Λύσαντες ἐκ Βενδιδείου] ἐπιστολῇ· τὸν Φάριον Μύρμηκα παρηλλάξαμεν.

Οὐ μόνον πολιτεύομαι, ἀλλὰ καὶ πολιτεύω. Θουκυδίδης· κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς συμμάχους ἐπολίτευσαν. πολιτευτὴς δὲ οὐκέτι, ἀλλὰ δημαγωγός. ἔστι δὲ καὶ πολιτεύομαι τὸ μάχομαι. Δημοσθένης· πρότερον μὲν γὰρ εἰσεφέρετε κατὰ συμμορίας, νυνὶ δὲ πολιτεύεσθε κατὰ συμμορίας. καὶ Συνέσιος ἐν ἐπιστολῇ [τῇ Ἂν γράψωμαί σοι φιλίας ἀδικουμένης·] ἐπειδὴ γὰρ ἐκεῖνος οὐδ' ἐμοὶ δοκοῦν ἐπολιτεύετο κατὰ Σαββατείου τῷ μακαρίτῃ Φάῳ.

Ποτνιῶμαι τὸ δυσφορῶ καὶ τὸ μετὰ δεινοπαθήσεως ἱκετεύω. Συνέσιος ἐν ἐπιστολῇ [τῇ Τῶν ἐρώτων οἱ μὲν χαμαὶ ἐρχομένας καὶ ἀνθρωπικὰς τὰς ἀρχὰς ἔχοντες.] τί οὖν ποτνιᾷ καὶ ταῖς ἐπιστολαῖς τῶν δακρύων ἐγχεῖς;

Πλυνεύς οἱ ὕστερον λέγουσιν ἀδοκίμως, οἱ δὲ Ἀττικοὶ κναφεύς· πλυνὸς δὲ ὁ ἄτιμος καὶ ὑβρισμένος ἐκ μεταφορᾶς τῶν ἀγγείων τῶν δεχομένων τὰ τῶν πλυνομένων ῥυπάσματα. Ἀριστοφάνης ἐν Πλούτῳ·

πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν.

Πιαίνει λέγε, μὴ σιτεύει· οὐ γὰρ ῥητορικόν.

Πομπὴ ἡ ἐν ταῖς τῶν θεῶν πανηγύρεσι πρόοδος. καὶ πομπεῖα τὰ θυμιατήρια, οἷς ἐχρῶντο ἐν ταῖς πομπαῖς, καὶ αἱ χέρνιβες, ὡς Θουκυδίδης· πομπὴ καὶ ἡ μετὰ τὴν νίκην ἐν θριάμβῳ πρόοδος. Συνέσιος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν ἐπιστολῇ [τῇ Ἔπεμψά σοι δῶρον ἵππον ἀκροφυέστατον· καὶ] ὅταν κατάγῃς ἐπὶ τῷ Λιβυκῷ τροπαίῳ πομπὴν ἐπινίκιον. πομπεία δὲ καὶ ἡ ὕβρις, ὡς Δημοσθένης· τῆς δὲ πομπείας ταύτης ὕστερον. παρῆκται δὲ ἀπὸ τοῦ τοὺς πομπεύοντας χρῆσθαι πρὸς ἀλλήλους σκώμμασι. καὶ πομπεύω τὸ ὑβρίζω. πομπεία καὶ ὁ μετὰ κάλλους καὶ ὡραϊσμοῦ θεατρισμός. Συνέσιος ἐν τῷ ὑπὲρ φαλάκρας· θέα τὰ κάλλη καὶ τὴν πομπειαν τῆς φύσεως. καὶ πομπεύω τὸ δημοσ_α προέρχομαι. ὁ αὐτὸς ἐν ἐπιστολῇ [τῇ Τρίτῃ μὲν ἦν Αἰσχίνῃ κειμένῳ.] ἅπασι τοῖς παρασήμοις ἐπόμπευεν εὐθὺ Τευχείρων ἐλαύνουσα.

Πομπὸς ὁ προπέμπων καὶ ὁδηγῶν. Εὐριπίδης ἐν Ἑκάβῃ·

ἡμᾶς δὲ πομποὺς καὶ κομιστῆρας κόρης.

καὶ πόμπιμος ὁ δυνάμενος προπέμπειν καὶ ὁδηγεῖν τινα, ὡς ὁ αὐτὸς ποιητὴς ἐν Φοινίσσαις·

πόμπιμος ὁ δαίμων.

Παροινία καὶ ἡ ἁπλῶς ὕβρις καὶ ἡ ἐκ μέθης ἀσχημοσύνη. καὶ Αἰσχίνης· ἀναστῆναι λέγοντες, ὅτι τὸ ὅλον πρᾶγμα παροινία γέγονεν.

[Παύω ἕτερον, παύομαι δὲ ἐγώ.] Παύομαι ποιῶν, οὐ ποιεῖν, τοῦ ποιεῖν δὲ, εἰ καὶ χωρὶς τῆς προσθήκης τοῦ ἄρθρου παρὰ ποιηταῖς εὑρίσκεται διὰ τὴν ἀνάγκην τοῦ μέτρου, ὡς Ὅμηρος ἐν μυοβατραχομαχίᾳ·

παυσώμεσθα τούτοις ἀρηγέμεν.

Προτέρα ἐπὶ τάξεως, προτεραία δὲ ἐπὶ μόνης

ἡμέρας. Πλάτων ἐν τῷ Φαίδωνι· ἔτυχε γὰρ τῇ προτεραίᾳ τῆς δίκης.

Πρῶτος ἐπὶ πολλῶν, πρότερος δὲ ἐπὶ δύο· καὶ τῷ μεν πρώτῳ ἀκόλουθός ἐστιν ὁ ὕστατος, τῷ δὲ προτέρῳ ὁ ὕστερος. οὕτω καὶ ἐπὶ τοῦ πρώτη καὶ προτέρα. καὶ πρότερος μὲν ἐπὶ τάξεως, πρῶτος δὲ οὐ μόνον ἐπὶ ἀριθμοῦ, ἀλλὰ καὶ ἐπὶ ποιότητος, ὡς ὅταν λέγωμεν; πρῶτός ἐστι τὴν τέχνην. σημείωσαι δέ, ὅτι ἐπὶ μὲν ἀριθμοῦ πρῶτος μόνον ὄνομα εὕρηται, οὐκέτι δὲ καὶ ἐπίρρημα πρώτως, ἀλλ' ἀντ' αὐτοῦ πρῶτον, ᾧ ἀκολουθεῖ τὸ ἔπειτα· ἐπὶ δὲ ποιότητος εὕρηται. Πλάτων γοῦν διαιρούμενος τὰ πολιτείας τὴν μὲν πρώτως ἔχειν φησί, τὴν δὲ ὑστέρως· δηλονότι ἡ μὲν προηγεῖται τῇ ποιότητι, ἡ δὲ ἕπεται.

Παραπολὺ οὐ μόνον ἀντὶ τοῦ καταπολύ, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐπ' ἔλαττον, οἱονεὶ ἐκτὸς τοῦ πολλοῦ. Φιλόστρατος· θέατρον παραπολὺ μὲν τοῦ Ἀθήνησιν, ἐν ὀλίγοις δὲ τῶν παρ' ἄλλοις ἐπαινουμένων. καὶ παρὰ τῷ θεολόγῳ Γρηγορίῳ ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ· παραπολὺ τῆς ἀξίας. Συνέσιος δὲ ἐπὶ τῆς αὐτῆς σημασίας καὶ παραπλεῖστον λέγει ἐν τῷ ὑπὲρ φαλάκρας· παραπλεῖστον οὖσαν τῆς ἀκριβείας τοῦ σχήματος. [ὁμοίως ἔχει καὶ τὸ παρὰ τοσοῦτον. ἐπ' ἀμφότερα γὰρ καὶ τοῦτο λαμβάνεται, ὡς ὁ θεολόγος ἐν τῷ Τίς ἡ τυραννίς· μὴ παρὰ τοσοῦτον ἔλθωμεν τῆς θείας ἰσότητος, ἀντὶ τοῦ ἐπ' ἔλαττον.]

**Πρόσχημα καὶ ἡ πρόφασις καὶ τὸ οἱονεὶ προκάλυμμα. Θουκυδίδης· τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου**

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρόσχημα. Συνέσιος [ἐν τῇ Ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον ἐπιστολῇ·] ἡ γὰρ δίκη πρόσχημα τῆς ἀσεβείας ἐστίν. ἔτι δὲ καὶ τὸ καλλώπισμα. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ.

κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κοινὸν Ἑλλάδος
πρόσχημα.

[καὶ] Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· τὸ τῆς Ἑλλάδος πρόσχημα καθαρῶς ἀνῄρηται. ἐχρήσαντο δὲ τούτῳ εἰς τὴν τοιαύτην σημασίαν διὰ τὸ τὸ σχῆμα τῆς ὕλης προέχειν εἰδοποιοῦν αὐτὴν καὶ εἰς κάλλος ἄγον· εὕρηται δὲ πρόσχημα καὶ ἁπλῶς τὸ σχῆμα.

Ποῦ καὶ τοπικὸν καὶ ἐρωτηματικόν [ἐστι] καὶ ἀντὶ τοῦ ἴσως καὶ ἀργόν.

Τὸ πῶς καὶ ἁπλῶς ἐρωτηματικόν ἐστιν, ὡς τὸ πῶς ἔχει τὰ τῶν ἀγρῶν, καὶ ἔμφασιν πρὸς τούτῳ ἔχον τοῦ καταπολύ. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἐγὼ δὲ τούτου τοῦ τρόπου πῶς εἰμ' ἀεί;

ἤγουν λίαν ἐμὸς οὗτος ὁ τρόπος. ἔστι δὲ καὶ ἀντὶ τοῦ κατά τινα τρόπον, ὅπερ καὶ ἀεὶ ἐγκλίνεται. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· δοκῶν γε δή πως εἰς Ἕλληνας τελεῖν. καὶ ἀμφότερα δέ, τό τε ἁπλῶς ἐρωτηματικὸν καὶ τὸ κατά τινα τρόπον, καὶ πῶς καὶ ὅπως γράφονται καὶ ὅπῃ, ὡς ὁ ῥυθμὸς ἀπαιτεῖ·

Προσήκει μοι τόδε ἀντὶ τοῦ πρέπει καὶ ἁρμόττει μοι, καὶ προσήκει μοι τοῦδε ἀντὶ τοῦ μετοχή ἐστί μοι. Ἀριστείδης ἐν τῷ πανηγυρικῷ ἐν Κυζίκῳ περὶ τοῦ ναοῦ· ἡ που ταύτῃ γε λαμπρῶς προσήκε τῆς

προσηγορίας. τὸ δὲ προσῆκεν ἀντὶ τοῦ προσήκει λαμβανόμενον Ἀττικόν ἐστιν, ὥσπερ καὶ τὸ ἔδει ἀντὶ τοῦ δεῖ.

Τοὺς Πέρσας οἱ ὕστερον καὶ Μήδους καὶ Ἀρσακίδας καὶ Ἀχαιμενίδας λέγουσι. Λιβάνιος ἐν τῇ εἰς Ἰουλιανὸν μονῳδίᾳ· ὑπ' Ἀχαιμενίδου τινὸς κατενήνεκται. Συνέσιος ἐν τῷ ὑπὲρ φαλάκρας· οὐ γὰρ μοιρίδιον ἦν τοὺς Ἡρακλείδας τοῖς Ἀχαιμενίδαις παραχωρῆσαι τῶν σκήπτρων.

Οὐ μόνον οἱ προσήκοντες τούτῳ, ἀλλὰ καὶ οἱ προσήκοντες τούτου.

Παράδειγμα λέγε, μὴ ὑπόδειγμα.

Προθεσμία ῥητορικὸν, διωρία κοινόν.

Πηνίκα μὴ εἴπῃς ἐπὶ χρόνου· ἔστι γὰρ ὥρας δηλωτικὸν, οἷον εἰπόντος τινὸς πηνίκα ἀποδημήσεις; ἐὰν εἴπῃς μετὰ δύο ἢ τρεῖς ἡμέρας, οὐκ ὀρθῶς ἐρεῖς· ἐὰν δὲ εἴπῃς ἕωθεν ἢ περὶ μεσημβρίαν, ὀρθῶς ἐρεῖς. οὕτω γὰρ ὡς ἔφημεν εὕρηται παρὰ πᾶσι τοῖς δοκίμοις. ὡσαύτως καὶ τὸ τηνικαῦτα καὶ τηνικάδε καὶ ἡνίκα λέγε. Πλάτων ἐν Κρίτωνι· τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρωὶ ἔτι ἐστί; πάνυ μὲν οὖν. πηνίκα μάλιστα; ὄρθρος βαθύς. καὶ αὖθις ἐν Φαίδωνι· μὴ αὔριον τηνικάδε οὐκέτι ᾖ ἀνθρώπων οὐδείς.

Ἡ πηλός Συρακόσιοι λέγοντες ἁμαρτάνουσιν· ὁ πηλός γὰρ Ἀττικοί.

Ποδαπός ἐπὶ γένους λέγων ὀρθῶς εἴποις, οἷον ποδαπός ἐστι, Θηβαῖος ἢ Ἀθηναῖος; ἔστι γὰρ οἷον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπὸ ποίου δαπέδου; καὶ Ἀριστοφάνης ἐν νεφέλαις·

ταυτὶ ποδαπὰ τὰ θηρία;

ἤγουν ἐκ ποίου γένους. γράφεται δὲ καὶ ὁ ποδαπός. Λιβάνιος ἐν ἐπιστολῇ· ἠρόμην τὸν καλὸν Φωσφόρον. ὁ ποδαπός τε εἴης καὶ τὶς τοὺς τρόπους. περὶ δὲ [τοῦ] τρόπου ἐρωτῶν οὕτως ἐρεῖς· ποταπὸς τὸν τρόπον Σωκράτης; ἐπιεικής. καὶ Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ· ποταπὴ τὴν γλῶτταν ἡ παρθένος; κάλλιον δ' ἂν εἴη τὸ οὕτως ἐρωτᾶν, ὁποῖός σοί τις δοκεῖ εἶναι, ἢ ποταπός.

Πεινῆν, διψῆν Ἀττικοί, οὐ πεινᾶν οὐδὲ διψᾶν.

Προκύπτειν δόκιμον· τὸ δὲ ὄνομα ἡ προκοπὴ ἀδόκιμον.

Πολίτης λέγε τῷ δεῖνι, ἤγουν συμπολίτης· πολίτης δὲ πόλεως.

Παλαιστρικὸς Ἄλεξις εἶπε· σὺ δὲ παλαιστικός. Λουκιανὸς ἐν τῷ θεῶν κρίσις· γυμνὰς τὰ πολλὰ, καὶ παλαιστική.

Προπετῶς δόκιμον· προάλως δὲ μόνος Φαβωρῖνος λέγει [καὶ Συνέσιος] ἀδοκίμως.

Πρόγραμμα λέγε· τὸ δὲ ἔκθεμα ἄχρηστον.

Παλαιστὴ θηλυκῶς τὸ μέτρον· παλαιστὴς δὲ ἀρσενικῶς ὁ ἀθλητής.

Πτώματα νεκρῶν καὶ πτώματα οἴκων ἀρχαῖοι· οἱ δ' ὕστερον πτῶμα ἤτοι νεκρὸν ἄνευ τινὸς προσθήκης.

Περίστασιν τὴν συμφορὰν λέγουσιν οἱ Στωικοὶ φιλόσοφοι· οἱ δ' ἀρχαῖοι τὴν διά τινα τάραχον παρουσίαν πλήθους, ὡς Τηλεκλείδης·

τίς ἥδε κραυγὴ καὶ δόμου περίστασις;

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περίστασις καὶ ἡ αἰτία, ὡς δηλοῦσι καὶ τὰ τῶν ρητόρων ἐξ περιστατικά.

Παρατίλλεσθαι καὶ πιττοῦσθαι ἀρχαῖον· τὸ δὲ δρωπακίζειν ἀδόκιμον.

Περιεσπάσθη τινὲς ἐπὶ τοῦ ἐν ἀσχολίᾳ γενομένου φασὶν ἀμαθῶς, δέον ἄσχολος γέγονε λέγειν. τὸ γὰρ περισπᾶσθαι ἐπὶ τοῦ παραιρεῖν καὶ παραιρεῖσθαι λέγουσιν οἱ ἀρχαῖοι. Λουκιανὸς ἐν τῇ Τόξαρις ἢ φιλία· ἃ εἶχε πιναρὰ καὶ ἐκτετρυχωμένα ράκη περισπάσας.

Πορνοκόπος Μένανδρος λέγει, οἱ δ' ἀρχαῖοι πορνότριψ, ὃ καὶ κρεῖττον. τούτοις καὶ Συνέσιος ἑπόμενός φησιν ἐν ἐπιστολῇ [τῇ Ὁ καὶ τοὔνομα δοῦλος καὶ τὴν προαίρεσιν·] ὁ γὰρ ἰδὼν τὸν πορνότριβα σοβοῦντα διὰ τῆς ἀγορᾶς.

Πύλαι ἐπὶ τείχους· θύραι ἐπὶ οἰκίας.

Προσγελῶ αὐτὸν Ἀττικοί, οὐκ αὐτῷ καὶ προσπαίζω τὸν κύνα, οὐ τῷ κυνί. [ὡς Φιλόστρατος ἐν πρώτῃ τῶν ἡρωικῶν.] καὶ Ἀριστείδης· προσπαίζειν γὰρ ἔξεστι δήπου σέ γε [δι' αὐτό·] ἐπὶ μὲν γὰρ ἐμψύχου αἰτιατικῇ· ἐπὶ δὲ ἀψύχου δοτικῇ, ὡς παρὰ τῷ θεολόγῳ Γρηγορίῳ· καὶ προσπαίζει ταῖς ἀκταῖς ἡδύ τι καὶ ἥμερον.

Πάρεδρος, οὐ συγκάθεδρος· σύνεδρος δέ.

Πολίτης, δημότης φυλέτης ἄνευ τῆς σύν λέγων Ἀττικῶς ἐρεῖς. συνέφηβος δὲ καὶ συνθιασώτης καὶ συμπότης, ὅτι καὶ πρόσκαιρος αὐτῶν ἡ κοινωνία· ἐπὶ δὲ τῶν προτέρων οὐχ ὁμοίως.

Πλατὺς γέλως ἐρεῖς, οὐχὶ πολύς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πίνει τις τοῦ οἴνου, πίνει δὲ τὴν κύλικα· τὸ δὲ προπίνω ἀεὶ αἰτιατικῇ. Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας· προὔπιε τὴν Ἑλλάδα. Λιβάνιος ἐν τῷ πρεσβευτικῷ· τὴν μὲν γὰρ φιλοτησίαν προπίνων.

Περιβάλλω τινά ἤγουν περιπλέκομαι. καὶ περιβάλλω τὸ περιτίθημι, ὅπερ οὐ μόνον δοτικῇ, ἀλλὰ καὶ αἰτιατικῇ εὕρηται. Ἡρόδοτος ἐν τῇ πρώτῃ· ἐδίδοσαν σφι χρήματα τεῖχος περιβαλέσθαι τὴν πόλιν. καὶ περιβάλλω τὸν δεῖνα ἤγουν ἐνδύω, ὡς ἔχει καὶ τὸ ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις. ὅθεν καὶ περιβάλλω τὸ περικυκλῶ, ὡς τὸ περιβάλλει κακοῖς τὸ ἄστυ παρὰ Λουκιανῷ. περιβάλλομαι δὲ παθητικῶς τὸ ἐνδύομαι. [καὶ] Ἀριστοφάνης ἐν νεφέλαις· περιβαλοῦ τὸ ἱμάτιον. ὅθεν καὶ περιβολή τὸ ἔνδυμα. λέγεται δὲ περιβολή καὶ ἐπὶ λόγων τὸ ἐστραμμένως καὶ ποικίλως χρῆσθαι τῇ ἑρμηνείᾳ καὶ τοῖς σχήμασιν.

Παλτόν δόρυ τι· πέλτη δὲ ἡ ἀσπὶς ἡ ἴτυν οὐκ ἔχουσα. καὶ πελτός καὶ πελτάριον· καὶ πελταστής ὁ χρώμενος τούτῳ.

Παῖς ὁ ἐν τῇ παιδικῇ ἡλικίᾳ· ἀρτίπαις δὲ ἐκβεβηκὼς τὴν παιδικὴν ἡλικίαν· βούπαις δὲ ὁ μέγας παῖς.

Παιδεία μὲν ἐστι δύναμις θεραπευτικὴ ψυχῆς, ὥς φησι Πλάτων· παίδευσις δὲ παιδείας καὶ ἀρετῆς παράδοσις.

Προστρίβομαι οὐ μόνον ἐπὶ κακοῦ, ἀλλὰ καὶ ἐπὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καλοῦ. ἐπὶ κακοῦ μὲν [γὰρ] πρὸς τοῖς ἄλλοις καὶ Ἀριστοφάνης ἐν ἱππεῦσι.

πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέ-
ταις.

ἐπὶ καλοῦ δὲ Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος· πλούτου τινὰ δόξαν προσετρίψατο τοῖς κεκτημένοις.

Πατρῷα τὰ ἐκ πατέρων εἰς υἱοὺς χωροῦντα· καὶ πατρῷοι φίλοι. πάτρια δὲ τὰ τῆς πόλεως ἔθη.

Πεῖρα ἡ ἐπιστήμη, ἡ ἐμπειρία καὶ ἡ μετοχὴ καὶ ἡ ἀπόλαυσις· πήρα δὲ ἰατρικὸν ἐγχειρίδιον καὶ δέρμα τι ἀρτοφόρον.

Ἀποπλεῖν τὸ ἐκ τόπου τινὸς ἀπαίρειν· παραπλεῖν δὲ τὸ τόπον τινὰ διέρχεσθαι πλέοντα καὶ τὸ εἴσω τινὸς πλεῖν· καὶ περιπλεῖν τὸ κύκλῳ τινὸς πλεῖν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ὥστε καὶ παραπλεῖν καὶ περιπλεῖν καὶ πεζεύειν. καὶ παράπλους καὶ περίπλους καὶ εἴσπλους, ὡς ὁ αὐτὸς ἐν τῷ πανηγυρικῷ ἐν Κυζίκῳ περὶ τοῦ ναοῦ· καὶ παράπλοι καὶ περίπλοι καὶ εἴσπλοι ναυτῶν ἁπάντων οὔποτε λείπουσι.

Πλούσιος εὐπόρου, ἀφνειοῦ, ὀλβίου καὶ εὐτυχοῦς διαφέρει. πλούσιος μὲν γὰρ ὁ πολυούσιος ἤγουν ὁ πολλὴν ἔχων οὐσίαν· εὔπορος ὡς πρὸς τὰς ἐπιβαλλούσας χρείας ἀνενδεής· ἀφνειὸς δὲ ὁ ἀπ' ἐνιαυτοῦ τὴν τροφὴν συλλέγων· ὄλβιος δὲ ὁ λίαν βιοὺς ἤγουν εὐδαιμόνως καὶ μετὰ δαψιλείας· εὐτυχὴς δὲ ὁ ζῶν ἡδέως καὶ ἀλύπως.

Πλήμμας τὰς πλημμυρίδας τῶν ποταμῶν ποιηταί· σὺ δὲ πλημμύρας λέγε καὶ πλημμυρίδας· ἀπὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

μὲν γὰρ τοῦ πλημμυρῶ πλημμυρίς· ἀπὸ δὲ τοῦ πλημμύρω πλημμύρα, οὗ τὸ ἐναντίον ἄμπωτις.

Πόλις μὲν καὶ ὁ τόπος καὶ οἱ κατοικοῦντες. Εὐριπίδης ἐν Ὀρέστῃ.

ὦ πόλις Ἄργους, κλύεθ' οἷα πάσχω.

ἄστυ δὲ μόνον ὁ τόπος. Ὅμηρος ἐν π' Ἰλιάδος·

φράζω νῦν ὅπως καὶ πόλιν καὶ ἄστυ
σαώσῃς.

Πολύτιμον τὸ πολλοῦ τιμήματος ἠγορασμένον· πολυτίμητον δὲ τὸ πολλῆς τιμῆς ἤγουν δόξης ἀξιωθέν. Ἀριστοφάνης ἐν νεφέλαις.

ὦ πολυτίμητοι νεφέλαι.

Προσδοκῶ ἀπαλλαγήσεσθαι τῆς νόσου καὶ προσδοκῶ ἀπαλλαγὴν τῆς νόσου· καὶ προσδοκῶ δὲ πείσεσθαι κακά καὶ προσδοκῶ κακά. ὡσαύτως καὶ ἐλπίζω ἐλευθερωθήσεσθαι καὶ ἐλπίζω ἐλευθερίαν.

Πάταγος κυρίως ἐπὶ ἀνέμου, ἦχος δὲ ἐπὶ μέλους καὶ βροντῆς.

Προξενῶ οὐ μόνον τὸ αἴτιός τινι τοῦδε γίνομαι, ἀλλὰ καὶ τὸ ξενοδοχῶ γενικῇ συντασσόμενον. Δημοσθένης ἐν τῷ περὶ παρὰ πρεσβείας· παρὰ σοὶ κατέλυον. Αἰσχίνη, καὶ σὺ προξενεῖς αὐτῶν. ὡσαύτως καὶ πρόξενος ὁ ξενοδόχος. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

φίλης γὰρ προξένου κατήνυσαν.

προξενία δὲ ἡ κοινὴ πρὸς πόλιν φιλία. Ἀριστίδης ἐν τῷ Παναθηναϊκῷ· ἔσωζεν αὐτὸν τὸ σχῆμα τῆς προξενίας.

Πρυτανεῖον δὲ κοινὸν ταμεῖον, ὅθεν αἱ κοιναὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὐεργεσίαι καὶ σιτήσεις ἐδίδοντο· πρυτανεία δὲ πληθυντικῶς τὰ καταβαλλόμενα ὑπὸ τῶν διωκόντων δίκην, ἦν δὲ τὰ ἐπιδέκατα τοῦ τιμήματος· πρυτανεία δὲ θυληκῶς ὁ χρόνος. διήρηται γὰρ παρὰ τοῖς Ἀθηναίοις ὁ χρόνος εἰς δέκα πρυτανείας, ὅσαι φυλαὶ ἦσαν, καὶ ἐπρυτάνευεν ἑκάστη φυλὴ κατ' ἐνιαυτὸν ἅπαξ· ὅθεν καὶ τοὺς μισθοὺς καὶ τὰ ἐνοίκια κατὰ τὰς πρυτανείας, οὐ κατὰ μῆνα ἐτέλουν.

Οὐ μόνον παράλιος χώρα, ἀλλὰ καὶ πάραλος· Θουκυδίδης. ἦν δὲ Ἀθήνησι καὶ ναῦς ἱερὰ πάραλος καλουμένη, ὅθεν καὶ πάραλοι οἵ τε ἐν τῇ νηὶ τῇ παράλῳ πλέοντες καὶ οἱ τὴν πάραλον χώραν οἰκοῦντες. Ἡρόδοτος ἐν τῇ ἑβδόμῃ· πάραλος Ἑλλήνων στρατὸν εἴημεν ἐκτημένοι.

Πρὸ μοίρας θανὼν ὁ βιαίως ἀποθανών, πρὸ ὥρας δὲ ὁ ἐν νεότητι.

Πρεσβεύονται οἱ τοὺς πρέσβεις χειροτονοῦντες καὶ πέμποντες, καὶ διαπρεσβεύονται. Λιβάνιος ἐν τῇ τοῦ Πατρόκλου προθεωρίᾳ· πρεσβεύεται πρὸς αὐτὸν Ἀγαμέμνων. πρεσβεύουσι δὲ καὶ πρεσβεύονται οἱ πεμπόμενοι εἰς πρεσβείαν. Θουκυδίδης ἐν τῇ ὀγδόῃ· τοὺς ἐς τὴν Λακεδαίμονα πρεσβευομένους ἔπεμπον. πρεσβεύω καὶ τὸ παρακαλῶ δοτικῇ· καὶ πρεσβεύω τὸ τιμῶ αἰτιατικῇ· πρεσβεύω καὶ τὸ πρεσβύτερός εἰμι γενικῇ. Θουκυδίδης ἐν τῇ ἕκτῃ· διὰ τὸ πρεσβεύειν τε ἀπ' αὐτοῦ καὶ τυραννεῦσαι. καὶ Ἡρόδοτος ἐν τῇ ἑβδόμῃ· τῶν μὲν δὴ προτέρων ἐπρέσβευεν Ἀρταβαζάνης.

Οἱ πρέσβεις καὶ τοὺς πρέσβεις ἐρεῖς, ὁ πρεσ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

βευτής δὲ καὶ τὸν πρεσβευτήν. Θουκυδίδης ἐν τῇ πέμπτῃ· πρεσβευτὴς ὑπὸ τὸν αὐτὸν χρόνον ἐξέπλευσεν. ὥστε ἁμαρτάνει ὁ λέγων ἐπὶ πληθυντικοῦ πρεσβευταὶ καὶ πρεσβευτάς· οὐδεὶς γὰρ τῶν δοκίμων εἶπε τοῦτο, εἰ καὶ Συνέσιος ἐν ἐπιστολῇ [τῇ Ἀνόητος ἂν εἴην, εἰ μὴ πολλὴν χάριν εἰδείην Πτολεμαίας·] οὓς πρεσβευτὰς ἠρῆσθαι παρὰ τοῦ δήμου πυνθάνομαι. πρέσβυς δὲ καὶ πρεσβύτης ὁ γέρων· πρέσβις μέντοι ὁ παρακλήτωρ παντελῶς ἀδόκιμόν ἐστι.

Πρωτότοκος ὁ πρῶτος τεχθείς, πρωτοτόκος δὲ μήτηρ ἡ πρώτως τέξασα.

Παλαμναῖον τὸ μέγα καὶ φρικτόν. Συνέσιος ἐν ἐπιστολῇ τῇ Λύσαντες ἐκ Βενδιδείου· ἐτραγῴδει τὰς παλαμναιοτάτας ἀράς· καὶ παλαμναῖον τὸ φονικόν, ὡς ὁ αὐτὸς ἐν ἑτέρᾳ ἐπιστολῇ [τῇ Οὐδὲν ἐγεγόνει χρήσιμος Εὐαγρίῳ τῷ πρεσβυτέρῳ]· παλαμναίᾳ χειρὶ καὶ γνώμῃ.

Προσείρηκε καὶ ἀντὶ τοῦ ὠνόμασεν, ὡς τὸ προσείρηκε τοῦτον εὐδαίμονα, καὶ ἀντὶ τοῦ ἐχαιρέτησεν, ὡς τὸ προσείρηκε τοὺς φίλους, καὶ ἀντὶ τοῦ ἐνεκωμίασεν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ἐν τοῖς ἐπιταφίοις λόγοις τῶν ἀποθανόντων ἐνίους προσειρήκασιν. οὕτω καὶ περὶ τοῦ προσεῖπε νόει καὶ τοῦ πρασεφθέγξατο, καὶ περὶ τοῦ προσρήματος πάντα γὰρ τὰ τοιαῦτα οὕτως ἔχουσι.

Πανδοκεύς, πανδοκεύτρια, πανδοκεῖον διὰ τοῦ κ, καὶ οὐ διὰ τοῦ χ.

Παραβάλλω τὸ πλησιάζω, τὸ ἔρχομαι καὶ τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παρεξετάζω, ὃ καὶ παραθεωρῶ παρὰ Λουκιανῷ εὕρηται ἐν τῷ Ἡρόδοτος ἢ Ἀετίων· ἀλλ' ἣν μὲν ὑμεῖς Πολυδάμαντι ἢ Γλαύκῳ ἢ Μίλωνι παραθεωρῆτέ με. καὶ παραβάλλομαι τὸ παρεξετάζομαι. Λιβάνιος ἐν ἐπιστολῇ τῇ Ἰδοὺ πέπομφα τὸν λόγον ἱδρῶτι περιρρεόμενος· τὸ δὲ ἐμὸν τοιοῦτον, οἷον κώνωψ ἐλέφαντι παραβαλλόμενος. καὶ τὸ κατατολμῶ. Συνέσιος καὶ αὐτὸς ἐν ἐπιστολῇ τῇ Δάπιδα μεγάλην τῶν Αἰγυπτίων· πρὸς τὴν Θρᾳκῶν χιόνα παραβαλλόμενος. παραβάλλεσθαι καὶ τὸ ἐξαπατῆσαι, [ὡς Θουκυδίδης·]ὅθεν καὶ παραβλήδην ἀντὶ τοῦ ἀπατητικῶς καὶ παραλογιστικῶς.

Παράγω τὸ εἰς μέσον ἄγω· καὶ παράγω τὸ μεταπείθω, καὶ παράγομαι τὸ μεταπείθομαι· ὅθεν καὶ εὐπαράγωγος ὁ εὐκόλως μεταπειθόμενος.

Πηγαὶ λέγονται πληθυντικῶς ἐπὶ τῆς ἀρχῆς τῶν ποταμῶν, οὐ πηγή, οἷον αἱ πηγαὶ τοῦ Ἀχελῴου καὶ αἱ πηγαὶ τοῦ Νείλου· καὶ ἐκβολαὶ αἱ εἰσελεύσεις αὐτῶν εἰς τὴν θάλασσαν.

Πρόσχωρος [λέγε], οὐ πλησιόχωρος.

Ἐπικουρίαν τῷ δεῖνι καὶ οὐ τοῦ δεῖνος.

Πατῶ, οὐ περιπατῶ [δέ], περίπατος μέντοι, καὶ οὐ πάτος· ποιητικὸν γάρ.

Πανοῦργος κυρίως μεν ὁ πᾶσιν ἔργοις ἐπιβάλλων, ἤγουν ὁ δραστήριος καὶ ἐνεργής· κατεχρήσαντο δὲ τῇ λέξει ἐπὶ τοῦ ἐν κακοῖς νοήμασιν εὐεπηβόλου· ὥσπερ καὶ παντουγὸς ὁ πάντα ἐργαζόμενος καὶ διεξάγων. Σοφοκλῆς δὲ ἐπὶ τοῦ μηχανικοῦ χρῆται λέγων ἐν Αἴαντι.

ἀνδρὶ παντουργῷ φρένας.

Πώμαλα Δημοσθένης ἅπαξ εἶπε· σὺ δὲ ὡς ποιητικὸν πάρες

Πώγων καὶ ὑπήνη δοκιμώτερον ἢ γένειον· τὸ δὲ γενειὰς κοινόν.

Πρὸς ἱεροῖς ἱκετεύω Ἀττικοὶ λέγουσιν, οἱ πρὸς ἱερά. Θουκυδίδης· πρὸς ἱεροῖς ἱκέτευσαν ἢ μαντίοις.

Παράλογον Ἕλληνες οὐδετέρως, ὁ παράλογος δὲ Ἀττικοί. ὁ αὐτός· τοῦ δὲ πολέμου τὸν παράλογον, ὅσος ἐστίν.

Οὐ μόνον προΐσχω καὶ προΐσχομαι τὸ παραβάλλομαι, ἀλλὰ καὶ τὸ προέχομαι. Σοφοκλῆς ἐν Ἀντιγόνῃ.

σὺ μὲν τάδ' ἂν προὔχοιο.

καὶ Θουκυδίδης· ὥσπερ μάλιστα προὔχονται.

Προσποιοῦμαι τὸ ὑποκρίνομαι, καὶ προσποίησις. ἐπὶ τῆς αὐτῆς [δὲ] σημασίας ἔστιν ὅτε καὶ τὸ ποιοῦμαι εὕρηται. Συνέσιος ἐν τῷ Δίωνι· οὐ γὰρ ἐποιεῖτο Σωκράτης σοφὸς εἶναι. καὶ προσποιοῦμαι τὸ ἐπαγγέλλομαι, καὶ προσποίησις ἡ ἐπαγγελία. Θουκυδίδης ἐν τῇ δευτέρᾳ· οὐδ, ἂν νῦν ἐχρησάμην κομπωδεστέραν ἔχοντι τὴν προσποίησιν. προσποιοῦμαι καὶ τὸ οἰκειοῦμαι, οἱονεὶ τὸ πρὸς ἐμαυτὸν ποιοῦμαι. Ἡρόδοτος ἐν τῇ πέμπτῃ· προσποιησάμενος δὲ ἑταιρηίην τῶν ἡλικιωτέων. ὅθεν καὶ προσποίησις ἡ οἰκείωσις. προσποιῶ δὲ τὸ ὑποτάττω, ὡς Θουκυδίδης· καὶ τὴν πόλιν Θηβαίοις προσποιῆσαι.

Παρανόμων τὸν δεῖνα γράφομαι λέγουσιν Ἀττικοί, οὗ ἡ εὐθεῖα τὸ παράνομον, οὐ παρανομίας. Δη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μοσθένης ἐν τῷ περὶ ἀτελείας· τὸ χάριν τούτων ἀποδιδόναι παρανόμων γράφῃ.

Περαιοῦμαι λέγε, καὶ μὴ περαιῶ, εἰ καὶ Θουκυδίδης λέγει· ὡς ἔμελλον τὸν Ἑλλήσποντον περαιώσειν.

Τῷ πρὸς Ἀττικοὶ εἰς τὴν σημασίαν τοῦ ὑπὲρ χρῶνται ἐνίοτε. Ἀριστείδης ἐν τῷ περὶ τοῦ πέμπειν βοήθειαν τοῖς ἐν Σικελίᾳ· τοῦτο πρὸς ἡμῶν ἐστι, τουτέστιν ὑπὲρ ἡμῶν. [καὶ] Θουκυδίδης· οἱ δὲ μὴ ἐσπλεῖν εἰς τὰ στενὰ νομίζοντες πρὸς ἐκείνων εἶναι.

Παραγινώσκω τόδε· Ἀττικοὶ δὲ πολλάκις καὶ γενικῇ τοῦτο συντάσσουσιν, ὡς Φιλόστρατος· παραγινώσκοντες τοῦ δικαίου, ἤγουν παρὰ τὴν γνῶσιν τοῦ δικαίου πολιτευόμενοι.

Πρόσοψις ἡ θεωρία. Θουκυδίδης· μὴ ἔχων τὴν πρόσοψιν τῶν πολεμίων ἐκ πολλοῦ.

Πρόσοδος ἡ προσένεξις, οἷον χρημάτων πρόσοδος. πρόσοδος καὶ ἡ πανήγυρις. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ πρόσοδοι θεῶν μετὰ τῶν καθεστηκότων νόμων. καὶ πρόσοδος ἡ πρός τι ὁδός. Θουκυδίδης· λάθρα ἐτήρουν τὴν πρόσοδον.

Παιανίζω καὶ παιωνίζω· καὶ παιὰν γὰρ καὶ παιών. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ἐκ θεῶν ἀρξάμενοι καὶ τοῦ φίλου παιῶνος. σημείωσαι δὲ, ὅτι τὸ μὲν παιὰν ἐπὶ ὕμνου τῶν θεῶν ἀεὶ τιθέασι καὶ μάλιστα τοῦ Ἀπόλλωνος ἐπὶ ἀπαλλαγῇ λοιμοῦ· τὸ δὲ παιὼν καὶ παιωνίζω, ἀλλὰ δὴ καὶ τὸ παιανίζω,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπὶ νίκης πολέμου κυρίως, καταχρηστικῶς δὲ καὶ ἐπὶ ἁπλῶς εὐφροσύνης.

Τὸ μὲν πρέπει ἀεὶ δοτικῇ· τὸ δὲ πρέπον οὐ δοτικῇ μόνον ἀλλὰ καὶ γενικῇ.Θουκυδίδης ὡς πρέπον·ἡμῶν καὶ ὡς ἡ χρεία προάγει.ὡσαύτως καὶ τὸ οἰκειοῦμαι δοτικῇ πάντοτε,τὸ δὲ οἰκεῖός εἰμι καὶ δοτικῇ καὶ γενικῇ.

Ἡ παρὰ ὅτε πλησιότητα δηλοῖ, ἐπὶ μὲν ἐμψύχου δοτικῇ συντάσσεται, οἷον παρὰ τῷ βασιλεῖ κάθηται, ἐπὶ ἀψύχου αἰτιατικῇ. Θουκυδίδης· ἐτάξαντο παρὰ τὴν θάλασσαν. Λουκιανὸς δὲ Ὁμηρικῷ ζήλῳ ἐπὶ ἐμψύχου εἰς αἰτιατικὴν εἶπεν ἐν δευτέρῳ τῶν ἀληθινῶν διηγημάτων· καὶ θρόνος αὐτῷ ἐτέθη παρὰ Κῦρον τὸν Πέρσην τὸν πρότερον. Ὅμηρος γὰρ οὕτω φησὶν ἐν ά Ἰλιάδος·

νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα·

ὡσαύτως καὶ Πλάτων ἐν Φαίδωνι·καὶ στὰς παρ' αὐτόν, ὦ Σώκρατες, ἔφη. ὅτε δέ ἐστιν ἀντὶ τῆς εἰς οὐκ ἐπὶ κινήσεως ἀεὶ τίθεται, ἀλλ' ἔστιν ὅτε καὶ χωρὶς κινήσεως. ὁ αὐτὸς ἐν τῷ αὐτῷ· καὶ παρ πάντα μοι τὸν χρόνον προσῄει καὶ διελέγετο ἐνίοτε. καὶ Ἀριστείδης ἐν τῷ περὶ τοῦ πέμπειν βοήθειαν τοῖς ἐν Σικελίᾳ· ὁ ταῦτα πείθων κακεῖνο συνέπειθεν, ἀρχὴν μὴ ἐπικτᾶσθαι παρὰ τὸν πόλεμον.

Καὶ παρακέλευσις καὶ παρακελεσμός. Θουκυδίδης· προθυμίᾳ τε πάσῃ χρώμενοι καὶ παρακελευσμῷ.

Παρακαλῶ τὸ προτρέπω ὡς ἐπιτοπολύ,καὶ παράκλησις ἡ προτροπή· ἅπαξ δὲ καὶ τὸ δέομαι.

Παρακομίζομαι τὸ παραγίνομαι· καὶ παρακομι

ἡ προσέλευσις. Θουκυδίδης· ἐν δὲ τῇ παρακομιδῇ τῇ ἐς τὴν Σικελίαν καὶ πάλιν ἀναχωρήσει.

Πρόσκειμαί σοι ἀντὶ τοῦ οἰκείως ἔχω σοι, καὶ πρόσκειμαί σοι ἀντὶ τοῦ ἐπίκειμαί σοι, ὡς ὁ αὐτός· προσκείμενον καὶ κατὰ τὸ εἰκὸς φοβοῦντα αὐτούς. καὶ πρόσκειμαι τὸ ἀνάκειμαι. Ἡρόδοτος ἐν τῇ πρώτῃ· παρέφερον, τοῖσι προσέκειτο, τὴν κεφαλὴν τοῦ παιδός.

Προσέχω σοι τὸν νοῦν κάλλιον ἢ προσέχω σοι μόνον. Ἀριστοφάνης ἐν Πλούτῳ·

πρόσεχε τὸν νοῦν, ἵνα πύθῃ.

Προστίθεμαί σοι ἀντὶ τοῦ μετὰ σοῦ γίνομαι, οἷον προστίθεμαι τοῖς πολεμίοις· προστίθεμαι δὲ σε ἀντὶ τοῦ μετ' ἐμοῦ σε παραλαμβάνω. Θουκυδίδης· ἵνα δεῦρο ἀντιβοηθῶσι προσεθέμεθα αὐτοὺς, τουτέστι συμμάχους πεποιήμεθα.

Πεζὴ στρατιὰ λέγε, ὡς Δημοσθένης καὶ πάντες, καὶ μὴ πεζικὴ, ὡς Θουκυδίδης ἐν **· στρατιᾷ ὥρμηνται καὶ ναυτικῇ καὶ πεζικῇ· ποιητικώτερον γὰρ τοῦτο, ὡς Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

πεζικὸς ὥρμηται λεώς.

Οὐ μόνον πιθανὸς ῥήτωρ φαμέν. ἀλλὰ καὶ πιθανὸν κάλλος τὸ ἡδὺ καὶ τοὺς ὁρῶντας πεῖθον θαυμάζειν. καὶ πιθανὸς κόσμος, ὡς Ἀριστείδης ἐν τῷ πανηγυρικῷ ἐν Κυζίκῳ περὶ τοῦ ναοῦ· καλοὶ μὲν γὰρ οἱ τῶν οἰκοδομούντων οὗτοι κόσμοι καὶ θαυμαστῶς πιθανοὶ τοῖς πλήθεσιν.

Πρωΐτερον καὶ πρωΐτατον, ἀμφότερα Θουκυδίδης· πρωΐτερον μέσον νυκτῶν· καὶ πρωΐτατα δὴ οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι· καὶ Ἀριστείδης ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πέμπτῳ τῶν ἱερῶν, πάλιν γὰρ αὖ τὸ πρωΐτερον τοῦ δέοντος ἢ λούεσθαι ἢ ἐσθίειν. κρεῖττω γὰρ ταῦτα τοῦ πρωιαίτερον καὶ πρωιαίτατον.

Οὐ μόνον προσέσχον τῷ λιμένι, ἀλλὰ καὶ ἔσχον, ὡς Θουκυδίδης· ἐς Αἴγυπτον ἔσχον αἱ νῆες κατὰ τὸ Μενδήσιον κέρας, ἀντὶ τοῦ προσωρμίσαντο. ὥσπερ δὲ φαμεν κατῆρεν ἡ ναῦς εἰς τὸν λιμένα, οὕτω καὶ κατέσχεν,ὡς ὁ αὐτὸς·ἀπὸ δὲ τοῦ αἰγιαλοῦ τούτου, ἔνθα αἱ νῆες κατέσχον. καὶ πάλιν· ἐπετήρουν τοὺς Ἀθηναίους, ἢ κατασχήσουσιν. ἐπὶ δὲ ἀναγωγῆς ἀνέσχον οὐχ εὕρηται.

Καὶ πανταχόθεν καὶ πάντοθεν.Δημοσθένης·οὕτω καὶ πάντοθεν καταπεφρονηκότως ἐκεῖνοι χρῶνται.

Οὐ μόνον πρόβοτον, ἀλλὰ καὶ προβάτιον Ἀττικοί. Ἀριστοφάνης ἐν Πλούτῳ.

προβατίου βίον λέγεις.

καὶ πάλιν ἐν τῷ αὐτῷ·

προβατίων βληχώντων

καὶ πάλιν ἐν τῷ αὐτῷ δράματι·

ἑπόμενον τοῖς προβατίοις.

Παροίξας τῆς θύρας Ἀττικοί, τὴν δὲ θύραν ἁπλῶς Ἕλληνες.

Μὴ εἴπῃς περιίσταμαι τὸν δεῖνα· πῶς γὰρ ἂν ὁ εἷς τινα περισταίη; ἀλλὰ περιιστάμεθα. Λιβάνιος ἐν ἐπιστολῇ· καὶ περιιστάμεθα τὰς ἐπιστολάς.

Πενθεῖν ἐπὶ τοῦ λυπεῖσθαι καὶ ἐπὶ τοῦ μελανειμονεῖν, θρηνεῖν δὲ ἐπὶ τοῦ κλαίειν.

Οὐδεὶς τῶν ρητόρων τὸ πολλάκις ἀντὶ τοῦ ἅπαξ εἶπε· κοινὸν γάρ ἐστιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὡσαύτως οὐδὲ παιδεύειν ἀντὶ τοῦ καλάζειν, ἀλλὰ παρὰ μόνῃ τῇ θείᾳ γραφῇ τοῦτο εὑρίσκεται.

Πλέω τὸ μετὰ νεὼς περῶ τὴν θάλασσαν· νέω δὲ τὸ κολυμβῶ.

Παίω τὸ τύπτω· εἰσπαίω τὸ εἰσέρχομαι. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἀγαθῶν σωρὸς εἰσπέπαικεν εἰς τὴν οἰκίαν.

καὶ ἐκπαίω τὸ ἐξέρχομαι, παραπαίω δὲ τὸ παρακρούω· καὶ συμπαίω τὸ συγκρούω, ὑπερπαίω μέντοι τὸ ὑπερβάλλω.

Προσοικῶ ἐπὶ μὲν ἐμψύχου δοτικῇ, ἐπὶ δὲ ἀψύχου αἰτιατικῇ. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· προσοικεῖ τὴν ὄχθην ἑκατέρα τῶν πόλεων· καὶ πάλιν ἐν τῷ αὐτῷ· προσοικοῦμεν ὡς ἔπος εἰπεῖν τὰς ὄχθας.

Παραστάδες Ἀττικοί, οὐ παραστάτιδες. Εὐριπίδης ἐν Φοινίσσαις·

Ἀδράστου δ' ἦλθον εἰς παραστάδας.

ἔστι δὲ θηλυκόν.

Καὶ παραθήκη λέγε καὶ παρακαταθήκη, καὶ παρατίθεται καὶ παρακατατίθεται· οὕτω γὰρ οἱ ἀρχαῖοι λέγουσιν. Ἡρόδοτος ἐν τῇ ἕκτῃ· παραθήκην παρατίθενται εἰς τοὺς ἐχθίστους Αἰγινήτῃσιν Ἀθηναίους. καὶ πάλιν· ἀνάγοντες δὲ σφέας εἰς τὴν Ἀττικὴν παραθήκην παρατίθενται. Θουκυδίδης ἐν τῇ δευτέρᾳ · μέχρι τοῦδε ἕξομεν παρακαταθήκην.

Οὐ μόνον προσβάλλω τοῖσδε, ἀλλὰ καὶ προσβάλλω τάδε εὕρηται. Ἀριστείδης ἐν τῷ Παναθη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναϊκῷ· καίτοι μεσοῦντας μὲν ἔτι τῆς πορείας προσέβαλεν ὥσπερ πνεῦμα ἀπὸ θαλάττης βοὴ συμμιγής.

Πίνακες τὰ ἀγγεῖα, ἐν οἷς ἐσθίομεν, καὶ αἱ διὰ σανίδων εἰκόνες. πινάκια δὲ, οἷς ἐνεγράφετο τὰ κατὰ τῶν εἰσαγγελλομένων ἐγκλήματα, ὡς ἔχει καὶ τὸ κατὰ Μεγαρέων πινάκιον· καὶ ἐν οἷς τὰ δικαστήρια ἐγράφοντο καὶ αἱ ἀρχαὶ, ἃ καὶ ἐλάμβανον οἱ λαχόντες ἄρχειν.

Πυθαγόρειος κάλλιον ἢ Πυθαγορικός.

Περιεγένετο ἀντὶ τοῦ ἐνίκησε γενικῇ, ὅπερ καὶ περιγέγονεν εὕρηται. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ· τῷ αὐτῷ οἰόμενος περιγεγονέναι, ᾧπερ καὶ τῶν πολιτικῶν περιεγένετο. καὶ ἀντὶ τοῦ προσεγένετο, καὶ ἀντὶ τοῦ ἐπερίσσευσεν. [καὶ] Ἡρόδοτος ἐν τῇ πρώτῃ· λέγοντες οἱ μὲν, ὡς ἑωυτῶν πλεῦνες περιγεγόνασι. καὶ Ἀριστείδης· περιγενομένων γὰρ τῇ πόλει χρημάτων ἐκ τῶν ἔργων τῶν ἀργυρείων. περιεγένετο καὶ ἀντὶ τοῦ ἐσώθη καὶ ἔζησε. Θουκυδίδης· καὶ εἴ τις ἐκ τῶν μεγίστων περιγένοιτο. καὶ [αὖθις) ἐν τῇ πέμπτῃ· καταφυγὼν ἐπὶ τὸν βωμὸν περιγίγνεται.

Περιορῶ τὸ καταφρονῶ· περιορῶμαι δὲ οὐ μόνον ἀντὶ τοῦ καταφρονοῦμαι, ἀλλὰ καὶ πὴ μὲν ἀντὶ τοῦ καταφρονῶ· Θουκυδίδης ἐν τῇ δευτέρᾳ· μὴ περιορᾶσθε τοὺς πολεμικοὺς κινδύνους· πὴ δὲ ἀντὶ τοῦ περισκοπῶ, ὡς ὁ αὐτὸς ἐν τῇ τετάρτῃ· καὶ τοὺς Μεγαρέας ἐπιστάμενοι περιορωμένους, ὁποτέρων ἡ νίκη ἔσται. καὶ αὖθις ἐν τῇ ἕκτῃ· μέλλοντες ἔτι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ περιορώμενοι. πῇ δὲ καὶ ἀντὶ τοῦ φροντίζω γενικῇ συντασσόμενον. ὁ αὐτὸς ἐν τῇ τετάρτῃ· τῆς τε Μένδης περιορώμενος, μὴ τῶν Ἀθηναίων πρότερον ἐπιπλευσάντων τι πάθῃ· καὶ περιιδεῖν οὐ μόνον ἀντὶ τοῦ καταφρονῆσαι, ἀλλὰ καὶ ἀντὶ τοῦ περισκοπῆσαι. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· ἀλλ' ἀμφοτέροις ἐδόκει ἡσυχάσασι τὸ μέλλον περιιδεῖν. ὡσαύτως καὶ περιοπτέον, ὡς ὁ αὐτὸς ἐν τῇ ὀγδόῃ· σφίσι δὲ περιοπτέον εἶναι τοῦτο μάλιστα.

Προστάττω οὐ μόνον τὸ κελεύω, ἀλλὰ καὶ τὸ ἔν τινι τάττω. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· καὶ τοὺς ἄλλους Κλεαρίδᾳ προστάξας. καὶ ἐν τῇ ἕκτῃ· καὶ Γύλιππον τὸν Κλεανδρίδου προστάξαντες ἄρχοντα τοῖς Συρακουσίοις. καὶ ἐν τῇ ἑβδόμῃ· καὶ ἄρχοντα Ἀλέξαρχον Κορίνθιον προστάξαντες.

Ἡ περὶ ὅταν ἀντὶ τοῦ ἕνεκα λαμβανομένη ἀναβιβάζῃ τὸν τόνον, οὐ μόνον ἐγγύς ἐστι τοῦ ὀνόματος, ᾧ ἕπεται, ἀλλὰ καὶ μεθ' ἕτερά τινα τίθεται. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ· ὧν ἐγὼ οὐδὲν οὔτε μέγα οὔτε σμικρὸν πέρι ἐπαΐω.

Πράττω οὐ μόνον τὸ ποιῶ καὶ πάσχω, ἀλλὰ καὶ τὸ ἀπαιτῶ, ὃ καὶ εἰσπράττω λέγομεν. Συνέσιος ἐν ἐπιστολῇ τῇ Ἀρίθμει καὶ Πέτρον· πρῶτον ἁρπάσας καὶ ὑφ' ἑαυτὸν ποιησάμενος ἔπειτα πράττει τὴν δίκην. πράττομαι δὲ καὶ μετὰ τῆς προθέσεως καὶ χωρὶς τῆς προθέσεως καὶ τὸ ἀπαιτῶ καὶ τὸ ἀπαιτοῦμαι. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ· ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους καὶ χρήματα πράττομαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πρόσκρουμα ἡ μέμψις, οὐ πρόσκρουσμα. Ἀριστείδης ἐν τρίτῳ τῶν Λευκτρικῶν· καὶ πρὸς ἐκείνους ἐν προσκρούσματι καὶ μέμψεσιν εἶναι.

Ὥσπερ φαμὲν προσηγορία καὶ προσήγορος, οὕτω καὶ προηγορία ἡ ὑπερηγορία καὶ τὸ πρὸ τῶν ἄλλων λέγειν· καὶ προήγορος ὡσαύτως καὶ προηγορῶ. Λουκιανὸς ἐν τῷ ἀναβιοῦντος ἢ ἁλιεύς· τὴν προηγορίαν δέχου καὶ ὑπὲρ ἁπάντων εἰπὲ τὰ εἰκότα. καὶ Συνέσιος ἐν ἐπιστολῇ τῇ Ἐγὼ καὶ βούλομαι· εὑράμενος καὶ κρηπῖδα καὶ ἐπαναβὰς αὐτῇ προήγορος ἠξίωσεν εἶναι. Ἀριστείδης ἐν τῷ Ροδίοις περὶ ὁμονοίας· προηγορεῖν δὲ ἡμᾶς συνδεομένους.

Ἄμφω λέγε, καὶ περιπόθητος καὶ ποθεινότατος. Ἀριστείδης ἐν τῷ πρεσβευτικῷ εἰς Ἀχιλλέα· καὶ τὴν

περιπόθητον ταύτην ἀποσφάξωσιν·

Πατραλοίας καὶ μητραλοίας. Ἀριστοφάνης ἐν νεφέλαις·

ὦ μιαρὲ καὶ πατραλοῖα καὶ τοιχωρύχε.

καὶ πατραλοίας δὲ καὶ μητραλοίας. Λουκιανὸς ἐν τῷ θεῶν ἐκκλησίᾳ· ἐναγοῦς ἀνθρώπου καὶ μητρολόου υἱὸς ὤν.

Παρεῖδεν ἀντὶ τοῦ παρέβλεψεν, ὅπερ καὶ αἰτιατικῇ συντάσσεται. παρεῖδε καὶ ἀντί τοῦ ἐνεῖδεν ἀπὸ δοτικῆς εἰς αἰτιατικήν Ἡρόδοτος ἐν τῇ πρώτῃ· οὔτε δειλίην οὔτε ἄλλο οὐδὲν ἄχαρι παριδών τοι ποιέω ταῦτα.

Παρέστησαν ἀντὶ τοῦ πλησίον ἔστησαν καὶ ἀντὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ού εἰς τὸ μέσον ἔστησαν καὶ ἀντὶ τοῦ ἐπόρθησαν. ὁ αὐτὸς ἐν τῇ τρίτῃ· πολιορκούμενοι χρόνῳ παρέστησαν. παρεστήσαντο δὲ ἀντὶ τοῦ ἐπόρθησαν.

Προορῶ καὶ τὸ [προ[βλεπω καὶ τὸ φροντίζω. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· τοῦ σίτου προορέοντος.

Προέδωκεν ὁ δεῖνα τοῖς πολεμίοις τὴν πόλιν ἀντὶ τοῦ λάθρα καὶ ἐπιβούλως παρέδωκεν· ὅθεν καὶ προδοσία καὶ προδότης. καὶ προέδωκεν ὁ ποταμὸς ἀντὶ τοῦ ἐνέδωκε καὶ ἐπέλιπεν. ὁ αὐτὸς ἐν τῇ ἑβδόμῃ· οὐδέν μοι θῶμα παρίσταται προδοῦναι τὰ ῥέεθρα τῶν ποταμῶν ἔστιν ὧν, ἤγουν ἐνδοῦναι καταποθέντα τῷ στρατοπέδῳ. λέγοιτο δ' ἂν καὶ προδοσία ἡ τοιαύτη ὕφεσις καὶ ἔκλειψις, οὐ μὴν καὶ προδότης.

Παρακελεύομαι καὶ διακελεύομαι καὶ ἐγκελεύομαι, κελεύω δὲ καὶ ἐπικελεύω. Πλάτων ἐν Φαίδωνι· ὅπερ ἔπραττον, τοῦτο ὑπελάμβανον αὐτό μοι παρακελεύεσθαί τε καὶ ἐπικελεύειν.

## Ρ

Ῥαΐσας τῆς νόσου λέγε, μὴ κουφισθείς.

Ῥᾴων τριγενές. ἔστι γὰρ ὁ ῥᾴων, ὡς Δημοσθένης ἐν Ὀλυνθιακῷ πρώτῳ· ῥᾴονι καὶ πολὺ ταπεινοτέρῳ νῦν ἂν ἐχρώμεθα τῷ Φιλίππῳ. καὶ ἡ ῥᾴων, ὡς Θουκυδίδης· ῥᾴονος ἂν μετέσχομεν τῆς διόδου· καὶ τὸ ῥᾷον, ὅπερ [ἔσθ' ὅτε] καὶ ἀντ' ἐπιρρήματος λαμβάνεται. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ θάττων· ὁ θάττων γὰρ καὶ ἡ θάττων καὶ τὸ θᾶττον.

Ῥιγέω ῥιγῶ τὸ φοβοῦμαι. ὅπερ ἐστὶ ποιητικόν. Ὅμηρος ἐν μ' Ἰλιάδος·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν.

ριγόω δὲ ριγῶ ἐπὶ κρύους. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἀλλ' ἐνερρίγωσ' ἔτη τριακαίδεκα.

καὶ Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ἤδη δέ τις ἐν καθαρῷ τῆς μεσημβρίας ἐρρίγωσε τῆς καταβολῆς ἐπελθούσης.

Ρύπτεσθαι καὶ ρύμμα Ἀττικοί· σμήχεσθαι καὶ σμῆγμα Ἕλληνες.

Ὡσαύτως οἱ μὲν ρήγνυμι, Ἕλληνες δὲ ρηγνύω καὶ ρήσσω.

Ρέγχω οὐδεὶς τῶν Ἀττικῶν, ἀλλὰ ρέγκω. Ἀριστοφάνης ἐν νεφέλαις·

οἱ δ' οἰκέται ρέγκουσιν.

Ροιὰ κάλλιον ἢ ρόα. σημαίνουσι δὲ ἀμφότερα καὶ τὸν καρπὸν καὶ τὸ δένδρον.

Ροίδιον οὐ ροΐδιον.

Ἡ ρὰξ ἐρεῖς· ρὼξ δὲ παράλογον, εἰ καί τινες. ἔστι δὲ ρὰξ ἐπὶ σταφυλῆς· ρὼξ δὲ ρωγὸς ἐπὶ θηλυκοῦ καὶ αὐτὸ ζωΰφιον τὸ λεγόμενον φαλάγγιον.

Ράφανον ἐπὶ τῆς ραφανίδος μὴ εἴπῃς· ράφανον γὰρ παρ' Ἀττικοῖς ἡ κράμβη· ἀλλὰ ραφανὶς καὶ ραφάνη λέγε. ἀπὸ γὰρ τῆς ραφανίδος καὶ τὸ ἐραφανιδώθη. Συνέσιος ἐν τῷ ὑπὲρ φαλάκρας· οἱ δὲ κηπωροὶ τὰς Ἀττικὰς ραφανίδας φυτεύουσιν. οἱ δὲ Ἴωνες ρέπανον τὴν ραφανίδα λέγουσιν.

Ρεῖθρον ἐπὶ τοῦ ρεύματος οὐδεὶς τῶν ἀρχαίων εἶπεν, ἀλλ' ἐπὶ τοῦ τόπου καθ' οὗ ὁ ποταμὸς φέρεται·

ρεῦμα δὲ καὶ ρόθιον αὐτὸ τὸ ὕδωρ. ρόθιον μέντοι οὐ μόνον ἐπὶ ποταμοῦ, ἀλλὰ καὶ τὸ μετὰ κτύπου κῦμα. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ὡς δὲ ἑώρα τὴν θάλατταν αἵματι καὶ ροθίῳ ζέουσαν.

Ρὶς Ἀττικοί, ρὶν Ἕλληνες· ἔστι δὲ ρὶς ἡ ἀπὸ τοῦ μεσοφρύου μέχρι τοῦ χείλους καταγωγή· μυκτῆρες δὲ αἱ τῶν ρινῶν κατατρήσεις, δι' ὧν τὸ ὑγρὸν ἔξεισιν ἀποματτόμενον.

Ρύγχος ἐπὶ χοίρων, ράμφος ἐπὶ ὀρνέων.

Ροδωνιά ὁ τῶν ρόδων τόπος, ρόδον δὲ τὸ ἄνθος· ροδὴ αὐτὸ τὸ δένδρον.

Ράμνος πᾶσα μὲν ἄκανθα, κυρίως δὲ ἡ τῶν ρόδων.

Ροῦς ροῦ λέγε, ὡς πλοῦς πλοῦ, καὶ μὴ ροός. λέγεται δὲ ροῦς ἐπὶ θαλάττης καὶ ἐπὶ ποταμοῦ· ρύαξ μέντοι ἐπὶ μόνου ποταμοῦ· ροὴ δὲ ἐπὶ δακρύων καὶ αἵματος. Ἀριστείδης δὲ βουλόμενος ἐνδείξασθαι πολὺ τὸ χυθὲν αἷμα τῶν Περσῶν, ὅτε τοῖς Ἕλλησι συνέβαλον, φησὶν ἐν τῷ Παναθηναϊκῷ· ὥστε οἱ τοῦ αἵματος ρύακες ἤρκουν ἐν νοτίῳ ταῖς ναυσὶν εἶναι.

Ρᾳδιουργὸς καὶ ὁ πλαστογράφος καὶ ὁ κακοῦργος ἁπλῶς. καὶ ρᾳδιουργία ἡ πλαστογραφία τε καὶ ἡ θρασύτης καὶ ἡ δολιότης. Λουκιανὸς ἐν δραπέταις· ἐμπέπλησται ἡ πόλις τῆς τοιαύτης ρᾳδιουργίας. Ξενοφῶν δὲ καί τινες ἄλλοι ἐχρήσαντο τῇ λέξει καὶ ἐπὶ εὐκολίας.

Ρήτωρ τοπαλαιὸν ἐκαλεῖτο ὁ δήμῳ συμβουλεύων καὶ ὁ ἐν δήμῳ ἀγορεύων· ὕστερον δὲ καὶ ὁ παρ' ἑνός

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τινος καλούμενος ἐν δικαστηρίῳ λόγοις καὶ συνηγορίαις βοηθήσων, ἤγουν ὁ δυνάμενος ὑπεραπολογήσασθαί τινος ἐν ὑποθέσει, ὡς καὶ συνήγορος καὶ δικηγόρος καλεῖται. ῥήτωρ καὶ ὁ κατὰ ῥήτορας γράφων, καὶ ῥητορικὸς, ὡς παρὰ Λιβανίῳ ἐν ἐπιστολῇ· οὐ τῶν ῥητορικῶν οὐδὲ τῶν εὐπόρων. ἔστι δὲ ὅτε τὸ ῥήτωρ καὶ ἐπὶ διαβολῆς λαμβάνεται. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἕτεροι δ' ἐπλούτουν, ἱερόσυλοι, ῥήτορες
καὶ συκοφάνται καὶ πονηροί.

Ῥικνὸν τὸ παλαιὸν καὶ σαθρόν, καὶ ῥικνοῦσθαι τὸ διέλκεσθαι καὶ παντοδαπῶς διαστρέφεσθαι κατ' εἶδος. λέγεται δὲ ῥικνοῦσθαι καὶ τὸ καμπύλον γίνεσθαι ἀσχημόνως, καὶ κατὰ συνουσίαν καὶ κατὰ ὄρχησιν κάμπτοντα τὴν ὀσφύν.

Ῥοθοπυγίζειν τὸ σιμῷ πόδι παίειν τὰ γλουτὰ καὶ ῥόθον ἤτοι ἦχον ποιεῖν ἐν τῇ πυγῇ· καὶ ῥοθοπυγισμὸς τὸ αὐτό.

Ῥᾳστώνη ἡ νωθρία, ὅθεν καὶ ὁ ἐρρᾳστωνευμένος ἀπὸ τοῦ ῥᾳστωνεύω ἀχρήστου θέματος, καὶ ἐρρᾳστωνευμένως ἐπίρρημα ἀντὶ τοῦ ῥᾳθύμως. ῥᾳστώνη καὶ ἡ ἡδονή. Συνέσιος ἐν ἐπιστολῇ τῇ Ἀπέκτονε, φησί τις, Ἰωάννης Αἰμίλιον. Ἀφελκόντων με τῆς ἐν φιλοσοφίᾳ ῥᾳστώνης. ῥᾳστώνη καὶ ἡ ἄνεσις, ὡς τὸ ῥᾳστώνην ἔσχον τῶν δυσχερῶν. ῥᾳστώνη καὶ ἡ εὐκολία. Ἀριστείδης ἐν τῷ πανηγυρικῷ· ὁπόσον τὸ τῆς ῥαστώνης αὐτῷ περίεστι καὶ ἐν τοῖς καθ' ἅπαξ ἀπόροις εἶναι δοκοῦσι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ ῥῆμα καὶ ῥημάτιον.

Ῥυπαίνω καὶ τὸ μολύνω καὶ τὸ ὑβρίζω, ὡς Φερεκράτης, διὰ τὸ τὴν ὕβριν ὡσπερεὶ μολυσμὸν εἶναι προς ὅντινα λέγεται.

Ῥᾴθυμος ἄνθρωπος ὁ ἀμελὴς καὶ νωθρός, ῥᾴθυμος δὲ παιδιά ἡ φαύλη καὶ ἠμελημένη. Φιλόστρατος· οὐ ῥᾴθυμον παιδιὰν, ἀλλ' ἀγχίνουν τε καὶ εἴσω σπουδῆς.

Ῥιπτοῦμαι Ἀττικοὶ παθητικῶς, ῥίπτω δὲ ἁπλῶς Ἕλληνες. ἰστέον δὲ ὅτι ῥίπτω μὲν τὸ ἁπλῶς ῥίπτω, ῥιπτῶ δὲ περισπωμένως καὶ ῥιπτοῦμαι τὸ μετὰ σφοδρότητος. Θουκυδίδης· τοσόνδε κίνδυνον ἀνερριπτοῦντο.

Ῥᾳθυμῶ ἐγὼ καὶ καταρρᾳθυμῶ ἤτοι ῥᾳθυμεῖν ποιῶ καὶ ἀνίημι. Φιλόστρατος ἐν εἰκόσιν· ἔοικε τοῦτο διαφεύγειν τὴν χεῖρα καταρρᾳθυμοῦντος αὐτὴν τοῦ ὕπνου.

## Σ

Συνδεῖ κάλλιον ἢ δεσμεῖ. Ἀριστοφάνης ἐν βατράχοις·

συνδεῖτε ταχέως τουτονὶ τὸν κυνοκλόπον.

Σχολὴν ἄγω καὶ εὖ σχολῆς ἔχω, οὐ σχολάζω. τὸ δὲ εὐκαιρεῖν πάντη ἀδόκιμον.

Καὶ συμφέρον λέγε καὶ σύμφορον, ὡς Αἰσχίνης· εἰ τοῦτο εἶναι δοκοίη σύμφορον.

Σῶς, οὐχὶ σῶος, καὶ σῶν, οὐχὶ σῶον, καὶ σῶς, οὐχὶ σώους· σῶοι δὲ μόνον. ἐπὶ δὲ τοῦ θηλυκοῦ ἡ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αἰτιατικὴ τῶν πληθυντικῶν μόνη συναιρεῖται· σῶς γὰρ λέγομεν οὐχὶ σώας. ὡσαύτως καὶ ἐπὶ τοῦ οὐδετέρου μόναι ἥ τε εὐθεῖα τῶν ἑνικῶν καὶ ἡ αἰτιατικὴ συναιροῦνται· σῶν γὰρ λέγομεν, οὐχὶ σῶον, σῶα δέ.

Συλλαμβάνω δόκιμον, οὐ συνεπιλαμβάνω. συνεπιλαμβάνομαι δὲ καὶ σύλλαμβάνομαι. συντάσσονται ἀπὸ δοτικῆς εἰς γενικήν.

Συβώτης Ἀττικοὶ καὶ συβωτεῖν, οὐ συφορβὸς οὐδὲ συφορβεῖν.

Σέες Ἀττικοὶ καὶ σέας ἀπὸ τῆς σεὺς ἀχρήστου εὐθείας, ὥσπερ καὶ υἱέας ἀπὸ τῆς υἱεύς. Λουκιανὸς ἐν τῷ πρὸς ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον. καὶ συμβούλους τοὺς σέας ἐπὶ τὴν ἐξέτασιν παραλαμβάνεις. σῆτες δὲ καὶ σῆτας Ἑλληνικὸν ἀπὸ τοῦ σὴς σητός.

Σφὲ καὶ αὐτὸν παρὰ ποιηταῖς· σφεῖς καὶ αὐτοὶ παρὰ μόνῳ τῷ Θουκυδίδῃ [καὶ παρὰ Πλάτωνι·] σφῶν δὲ καὶ σφίσι καὶ σφᾶς παρὰ πᾶσι τοῖς ῥήτορσιν. οὐ μόνον δὲ σφεῖς καὶ σφῶν καὶ σφίσι καὶ σφᾶς γράφεται, ἀλλὰ καὶ σφεῖς αὐτοὶ καὶ σφῶν αὐτῶν καὶ σφίσιν αὐτοῖς καὶ σφᾶς αὐτούς. δηλοῦσι μὲν ἁπλᾶ κείμενα τὸ αὐτοί, αὐτῶν, αὐτοῖς, αὐτούς, μετὰ δὲ τῆς προσθήκης πλὴν τῆς εὐθείας ἑαυτῶν, ἑαυτοῖς, ἑαυτούς· οὐδὲ γὰρ οἷόν τε ἑαυτὸς ἐπὶ τῆς εὐθείας ἢ ἑαυτοὶ λέγειν. καὶ διὰ τοῦτο οὐδὲ σφεῖς αὐτοὶ ἀντὶ τοῦ ἑαυτοί, ἀλλ' ἀντὶ τοῦ αὐτοὶ ἐκ παραλλήλου λέγομεν. οἱ δὲ σφῶν ἑαυτῶν καὶ σφίσιν ἑαυτοῖς καὶ σφᾶς ἑαυτοὺς γράφοντες ἁμαρτάνου-

σιν· οὐδεὶς γὰρ τῶν ἀντιποιουμένων ἀκριβείας μετὰ τοῦ ε εἶπε. τίθενται δὲ ταῦτα ἐπὶ τρίτου προσώπου· οἱ δὲ ἐπὶ δευτέρου τιθέντες σολοικίζουσιν. ὥσπερ δὲ ἀπὸ τοῦ ἡμεῖς ἡμέτερος ἡμετέρα ἡμέτερον, καὶ χρώμεθα τούτῳ ἐπὶ πληθυντικοῦ μόνον· τὸ γὰρ ἡμέτερος κόσμος καὶ ἡμετέρα ἐπιστήμη καὶ ἡμέτερον ἐγκαλλώπισμα ἀντὶ τοῦ ἡμῶν κόσμος καὶ ἐπιστήμη καὶ ἐγκαλλώπισμά εἰσιν· οὕτω καὶ ἀπὸ τοῦ σφεῖς σφέτερος σφετέρα σφέτερον γίνεται. δεῖ δὲ χρῆσθαι τούτοις ἐπὶ πληθυντικοῦ. εἰ δὲ καὶ ἐπὶ ἑνικοῦ ἅπαξ εὕρηται, οἷον ὁ δεῖνα τὴν σφετέραν κακίαν ἐνδείκνυται, ἀλλ' οὐ δεῖ τὸ ἅπαξ εἰρημένῳ χρῆσθαι. τὸ δὲ λέγειν, ὡς ἀπὸ τοῦ σφὲ σφέτερος γίνεται καὶ διὰ τοῦτο οὐδὲν κωλύει καὶ ἐπὶ ἑνικοῦ τὸ σφέτερος λέγεσθαι, οὔ μοι δοκεῖ καλῶς λέγεσθαι. ὥσπερ δὲ αἱ πρωτότυποι τούτων ἀντωνυμίαι καὶ ἁπλῶς τίθενται καὶ μετὰ προσθήκης· λέγομεν γὰρ καὶ ἡμεῖς και σφεῖς καὶ ἡμεῖς αὐτοὶ καὶ σφεῖς αὐτοί· οὕτω καὶ αἱ παράγωγοι αὗται ἔχουσιν. οὐ γὰρ μόνον ἡμέτερος καὶ σφέτερος, ἀλλὰ καὶ ἡμέτερος αὐτῶν καὶ σφέτερος αὐτῶν ἐκ παραλλήλου.

Σταθεῦσαι Ἀττικοὶ, στατεῦσαι Ἕλληνες· δηλοῖ δὲ τὸ ἱστάμενον φλέγεσθαι. ἔστι δὲ ποιητικὸν, ἐξ οὗ καὶ ὄνομα σταθευτὸς, ἀπὸ τοῦ στατὸς καὶ τοῦ εὔω τὸ καίω [τρεπομένου τοῦ τ εἰς θ.]. Αἰσχύλος ἐν Προμηθεῖ.

σταθευτὸς δ' ἡλίου φοίβῃ φλογί

Σικελός ὁ ἐξ αὐτῆς τῆς Σικελίας ὤν· Σικελιώτης δὲ ὁ Σικελός μὲν μὴ ὤν, τὴν δὲ χώραν ταύτην οι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κῶν. Θουκυδίδης ἐν τῇ ἑβδόμῃ· πορευομένων δ' ἤδη τῶν Σικελιωτῶν Σικελοί, καθάπερ ἐδέοντο οἱ Ἀθηναῖοι, ἐνέδραν ποιησάμενοι.

Σιτοῦμαι τὸ τρώγω· ἐπισιτίζομαι δὲ τὸ ἐφόδια ἁπλῶς λαμβάνω ἤγουν μετὰ τὸ φαγεῖν λαμβάνω καὶ οὕτως ἀπέρχομαι.

Σιγηλὸς καὶ σιωπηλὸς οὐ ρητορικά· σὺ οὖν σιγῶν λέγε.

Σμινύη καὶ δίκελλα οὐ σκαφεῖον. Ἀριστοφάνης ἐν νεφέλαις·

ἢν ἡ σμινύη μὴ προδῷ τὰς ἐλπίδας.

[καὶ] Λιβάνιος ἐν μελέτῃ τῇ Δύσκολος ὤλισθε· πεπληγυῖαν ἐν ταῖς πέτραις τὴν δίκελαν ἰασόμενος.

Τὸ σίαλον Ἀττικοί, ὁ σίελος Ἕλληνες. Λουκιανὸς ἐν τῷ κατάπλους ἢ τύραννος· σιάλῳ χρίσας τοὺς ὀφθαλμούς.

Σπάδων οὐκ ἐρεῖς, ἀλλὰ εὐνοῦχος.

Σύνθημα, οὐ σύνθεμα.

Σύμβολον καὶ σύμβολα τὰ σημεῖα. καὶ σύμβολα πληθυντικῶς μόνον αἱ περὶ τὰ συμβόλαια τῶν ἐμπόρων δίκαι. Δημοσθένης· συμβόλων οὐδὲν δέονται Μακεδόνες πρὸς Ἀθηναίους. καὶ πάλιν· ὁμολογούμενον ἐν τοῖς συμβόλοις καταστῆσαι.

Στρωματεὺς μὴ εἴπῃς ἐπὶ στρωμάτων, ἀλλὰ στρωματόδεσμος καὶ στρωματόδεσμον οὐδετέρως. Αἰσχίνης· ἄνθρωποι δύο στρωματόδεσμα φέροντες.

Σαπρὸς οἶνός ἐστιν ὁ πρὸς τῷ τέλει ὑλώδης· σαπρὰ δὲ τρὺξ ἡ σεσημμένη. Ἀριστείδης ἐν τῷ κατὰ ἐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ξορχουμένων· οὐδ᾽ ἀντ᾽ οἴνου τρύγα καὶ ταύτην σαπράν.

Σαλπίζω σαλπίγξω, οὐ σαλπίσω· καὶ σαλπιγκτής, οὐ σαλπιστής. Θουκυδίδης ἐν τῇ ἕκτῃ· καὶ σαλπιγκταὶ ξύνοδον ἐπώτρυνον ὁπλίταις.

[Σκυτοτόμος κρεῖττον ἢ σκυτεύς].

Σκίμπους ῥητορικὸν, κράββατος κοινόν. Λιβάνιος ἐν τῇ τοῦ φθονεροῦ μελέτῃ· πεσὼν εἰς τὸν σκίμποδα τὸν οὐκ ἀμειφθέντα παρὰ τῆς τύχης. λέγεται δὲ σκίμπους καὶ τὸ σκαμνίον. Ἀριστοφάνης ἐν Νεφέλαις.

κάθιζε τοίνυν ἐπὶ τὸν ἱερὸν σκίμποδα.

Ὁ σκότος καὶ τὸ σκότος· τὸ δὲ σκοτία οὐκ ἐν χρήσει. Εὐριπίδης ἐν Φοινίσσαις·

σκότος δεδορκώς.

Σμῶμαι καὶ σμῆσαι καὶ σμῆμα Ἀττικῶν· σμήχομαι δὲ καὶ σμῆξαι καὶ σμῆγμα ἀνάττικα.

Σαίρειν, οὐ σαροῦν. Εὐριπίδης ἐν Ἑκάβῃ·

σαίρειν τε δῶμα κερκίσι τ᾽ ἐφεστάναι.

Σπιλὰς Ἀττικοὶ, ὕφαλος πέτρα Ἕλληνες· εἰ δὲ ὕφαλος μόνον εἴποις ἄνευ τοῦ πέτρα, κάλλιστον.

Σκευωρία καὶ σκευώρημα, οὐ σκευή. λέγεται δὲ σκευὴ καὶ ἡ διακόσμησις, οἷον ὅπλων σκευή, ὅπερ ἐστὶ κάλλιστον.

Στύραξ θηλυκῶς μὲν θυμίαμά τι. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης· στύρακος ἅμα ὀσμῇ θεραπεύσας τὸν θεόν. ἀρσενικῶς δὲ ὁ συνέχων τὴν αἰχμὴν μετὰ τοῦ ξύλου κρίκος. καὶ στυράκιον οὐδετέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρως. Συνέσιος ἐν ἐπιστολῇ· μετὰ τῶν στυρακίων μέντοι τὰ βέλη.

Σιτίζειν Ἀττικοὶ, οὐ σιτεύειν οὐδὲ ψωμίζειν· σιτευτὸς μέντοι, οὐ σιτιστὸς, οἷον σιτευτὸς ὄρνις.

Σκαιὸς, οὐκ ἐπαρίστερος. σκαιὰ χεὶρ καὶ λαιά· τὸ δὲ ἀριστερὰ κοινότερον. ἀριστεροστάτης μέντοι ὁ ἐν ἀριστερῷ ἱστάμενος κάλλιστον. Ἀριστείδης ἐν Μιλτιάδῃ· πλὴν ὅσον οὐκ ἀριστεροστάτης ἀνὴρ, ἀλλὰ τοῦ δεξιοῦ τοῖς Ἕλλησι κέρως. ἔστι δὲ καὶ σκαιὰ γνώμη ἡ κακὴ καὶ ἀπαίδευτος.

Σῶκκον τὸν Ἑρμῆν διὰ δύο κκ Δωριεῖς· Ἀττικοὶ δὲ δι' ἑνός.

Σιτομετρεῖσθαι μὴ λέγε, ἀλλὰ διαλελυμένως σῖτον μετρεῖσθαι.

Στῆθος καὶ στηθίδιον λέγε ὑποκοριστικῶς, μὴ στηθύνιον.

Συλῶ τὸ κλέπτω, ἀφ' οὗ [καὶ] ἱερόσυλος· καὶ συλῶ τὸ βλάπτω ποιητικῶς, ὡς παρ' Ὁμήρῳ ἐν π' Ἰλιάδος·

> κεῖται ἀνὴρ, ὃς πρῶτος ἐσύλα τεῖχος Ἀχαιῶν.

Συγκαταβαίνειν οὐκ ἐρεῖς, ἀλλὰ συγκαθιέναι καὶ συγκαθῆκεν εἰς τὸ παίζειν.

Συλλαμβάνει ὁ δεῖνα τῷ δεῖνι ἤγουν βοηθεῖ, ὃ καὶ συνεπιλαμβάνει λέγεται. Θουκυδίδης ἐν τῇ δευτέρᾳ· καὶ λόγῳ καὶ ἔργῳ ξυνεπιλαμβάνειν αὐτοῖς. καὶ συλλαμβάνει ἡ γυνὴ παιδίον ἤγουν ἑαυτῇ ἕτερον λαμβάνει. καθὸ λέγεται καὶ συλλαβὴ, ὅταν γράμμα ἕτερον γράμμα συλλάβῃ· καὶ γὰρ αἱ μο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νογράμματοι καταχρηστικῶς λέγονται συλλαβαί. συλλαμβάνειν λέγεται καὶ ὅταν τινά τις κρατήσῃ.

Σύμμετρον τὸ μήτε ὑπερέχον μήτε ἐλαττούμενον, καὶ τὸ ἐξαρκοῦν καὶ ἁρμόζον. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· πᾶσι δὲ συλλόγοις καὶ βουλευτηρίοις σύμμετρος.

Σκνιφὸς ἐπὶ τοῦ γλίσχρου καὶ μικροπρεποῦς περὶ τὰ ἀναλώματα· οἱ δὲ ἀρχαῖοι σκνιπὸς λέγουσιν ἀπὸ τοῦ ζωυφίου τοῦ σκνιπὸς τοῦ τὰ ξύλα καταβραχὺ ἐσθίοντος.

[Συ]σχολαστὰς οὐκ ἐρεῖς, ἀλλὰ συμφοιτητάς.

Στέμφυλα οἱ πολλοὶ τὰ τῶν βοτρύων μετὰ τὸ ἐκπιεσθῆναι, οἱ δ' Ἀττικοὶ στέμφυλα τὰ τῶν ἐλαῶν. Ἀριστοφάνης ἐν νεφέλαις.

βρύων μελίτταις καὶ στεμφύλοις καὶ προβάτοις.

Σημεῖον λέγοντες σημειοῦσθαι οὐ λέγομεν, ἀλλ' ἀποσημαίνεσθαι, ὡς Ἀριστοφάνης ἐν πελαργοῖς·

ἀπεσημηνάμην
τὰς τῶν κακούργων οἰκίας.

Μὴ μόνον σοφώτατος τῶν ἡλικιωτῶν λέγε, ἀλλὰ καὶ σοφώτατος τῆς ἡλικίας ἀντὶ τοῦ πάντων τῶν εἰς τὴν αὐτὴν ἡλικίαν τελούντων.

Σταθῆναι καὶ στῆναι διαφέρει. σταθῆναι μὲν ὑφ' ἑτέρου, οἷον ἐστάθη ὁ ἀδριάς· ἔστη δέ τις κατ' ἰδίαν ὁρμὴν καὶ προαίρεσιν.

Καὶ σκηνὴ καὶ σκήνωμα παρὰ τῇ θείᾳ γραφῇ· οἱ ῥήτορες σκηνὴν μόνον γράφουσιν. καὶ σκηνόω σκηνῶ μόνον παρ' ἐκείνῃ· παρὰ δὲ τούτοις σκηνέω

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σκηνῶ ὡς ἐπιτοπολὺ, ἅπαξ δὲ καὶ σκηνόω σκηνῶ Ἀριστείδης ἐν Θεμιστοκλεῖ· παρ' αὐτὸν τὸν θάνατον ἐσκηνῆσθαι. καὶ πάλιν· ὁμοῦ τοῖς ναύταις ἐσκηνωμένος.

Σκῶμμα, γελοῖον, εὐτράπελον καὶ γεφυριασμὸς διαφέρει. σκῶμμα μὲν γάρ ἐστι τὸ ἐπὶ διασυρμῷ τοῦ πέλας λεγόμενον· γελοῖον δὲ τὸ ἐπὶ διαχύσει τῶν ἀκροατῶν χωρίς τινος ὕβρεως· εὐτράπελον δὲ τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον, εἴρηται δὲ παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον· γεφυριασμὸς δὲ ἀπὸ τοῦ ἐπὶ τῶν γεφυρῶν γράφειν ἤτοι ἔμμετρα ἢ καὶ δίχα μέτρων διασυρμούς τινων ἔχοντα.

Σπουδάζειν τὸ ἐναντίον τοῦ παίζειν· σπεύδειν δὲ τὸ ἀγωνίζεσθαι.

Συγγνωμονεῖν μὴ εἴπῃς, συγγινώσκειν δὲ καὶ συγγνώμης ἀξιοῦν. ὡσαύτως καὶ συγγνῶναι καὶ συγγνώμης ἀξιῶσαι, οὐ συγγνωμονῆσαι.

Κατὰ συγγνώμην ἵσταται κάλλιον λέγειν ἢ συγγνώμης ἄξιόν ἐστι.

Συνεργὸς μὲν ὀξυτόνως ὁ περί τι ἔργον συμπονῶν· σύνεργος δὲ προπαροξυτόνως ὁ τὸ αὐτὸ μετιὼν οἱονεὶ σύντεχνος.

Συλλεχθεὶς κάλλιον ἢ συλλεγείς. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· πρός γε τὸν συλλεχθέντα τοῦ ναυτικοῦ ἀριθμόν.

Συνίσταται καὶ ἀντὶ τοῦ πέπηγεν, ᾧ ἐναντίον τὸ χαυνοῦται, οἷον συνέστη παρὰ τοῦ ψύχους κρύσταλος· ὅθεν καὶ ἀσύστατόν φαμεν τὸν χαῦνον καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴ ἐπὶ τῆς αὐτῆς πεπηγότα γνώμης, ὃν καὶ εὔριπον λέγομεν· καὶ συνίσταται ἀντὶ τοῦ ἀρχὴν λαμβάνει. Λιβάνιος ἐν ἐπιστολῇ τῇ Εἰ μὴ καὶ αὐτὸς ᾔδεις· καὶ συνέστη καὶ ηὐξήθη πρὸς τὸν χρηστὸν ἡμῖν Μακεδόνιον φιλία. ὅθεν καὶ ἀσύστατον ζήτημα τὸ μὴ ἀρχήν τινα καὶ λαβὴν δυνάμενον παρέχειν τοῖς μεταχειρίσασθαι βουλομένοις, ὡς τό· [ὃ] Ἀλέξανδρος εἶδεν ὄναρ, ὀνείροις μὴ πιστεύειν. καὶ συνίσταται ἀντὶ τοῦ συνέρχεται. Φιλόστρατος ἐν εἰκόσι· συνίσταται δὲ εἰς κολυμβήθραν παγκάλην. καὶ συνίσταταί τίς τινι ἀντὶ τοῦ γνώριμος γίνεται, οὗ τὸ ἐνεργητικὸν συνίστημι. Συνέσιος ἐν ἐπιστολῇ· συνίστημι τῇ φιλίᾳ καὶ τῇ προστασίᾳ τῇ σῇ τὸν θαυμάσιον Σωσηνᾶν.

Συντίθημι συναρμόζω, καὶ συντίθεταί τι ἀντὶ τοῦ συναρμόζεται. καὶ συντίθημι τὸ συνάγω, ὡς τὸ πάντα συνθεὶς χρήματα. συντίθεμαι δὲ τὸ ὁμολογῶ. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης· συνθέμενος ἥξειν εἰς τὴν ὑστεραίαν.

Συμπεσεῖν τὸ ὁμοῦ γενέσθαι ἐπί τινων ἐρχομένων εἰς πόλεμον ἀλλήλοις καὶ συρρηγνυμένων, ὡς τό· συμπεσόντες ἐξ ἑωθινοῦ μέχρι δείλης ἐμάχοντο. καὶ συμπεσεῖν τὸ συμβῆναι.

Οὐ μόνον συμφέρων ὁ ὠφέλιμος, ἀλλὰ καὶ σύμφορος. Θουκυδίδης ξύμφορος ἡμῖν ἀπαράσκευος ὤν. ἀπὸ γοῦν τοῦ συμφέρων συμφερόντως, ἀπὸ δὲ τοῦ σύμφορος συμφόρως. ὁ αὐτός· τούσδε ξυμφόρως δεῖ κολάζεσθαι.

Συμφορὰ οὐ μόνον ἡ συμβᾶσά τινι δυσχέρεια,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀλλὰ καὶ ἡ συνέλευσις. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

κἀπὶ συμφορᾷ
γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.

καὶ συμφέρω οὐ μόνον τὸ εἰς συμφέρον τινὶ εὑρίσκομαι, ἀλλὰ καὶ τὸ συνέρχομαι, ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ δράματι.

τῷ γὰρ χρόνῳ
νοῦν ἔσχον συμφέρειν τοῖς κρείττοσιν.

καὶ συμφέρουσιν ἐπὶ πληθυντικοῦ τὸ ὁμοῦ πράγματά τινα φέρουσιν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· θεοὶ δὲ συμφέροντες παρεῖχον οἱ μὲν φυτὰ, οἱ δὲ σπέρματα.

Σύνοιδά σοι χρηστόν τι, οὐ σύνοιδά σε ἀγαθὸν ὄντα, διὰ τὸ ἐκεῖσε μὲν δηλαδὴ συνάπτεσθαι τὴν σὺν πρόθεσιν πρὸς τὸ σοί, ἐνταῦθα δὲ μὴ ἔχειν ὅπου συνταχθήσεται, αἰτιατικῆς οὔσης. ἐπὶ δὲ πλήθους καὶ ἀμφότερα, οἷον πολλοὶ συνίσασί σοι τὰ βέλτιστα, καὶ, πολλοὶ συνίσασί σε βέλτιστον, ἀντὶ τοῦ ὁμοῦ πάντες ἐπίστανταί σε τοιοῦτον. Ἀριστείδς ἔν τινι τῶν ἱερῶν· ὡμολόγουν ἀεὶ δήποτε μηδένα πω τῶν πάντων συνειδέναι τοσαῦτα τμηθέντα.

Σοφίζομαι τὸ σοφιστικῶς λέγω, ἤγουν τὸ δι' ἐπιχειρημάτων ἀποδείκνυμί τι, ὅπερ οὐ κυρίως τοιοῦτόν ἐστι· καὶ σοφιστὴς ὁ ῥήτωρ. καὶ σοφίζομαι τὸ παραλογίζομαί τινα, ὃ καὶ κατασοφίζομαι λέγεται· καὶ σοφιστὴς ὁ ἀπατεών. καὶ τὸ εὑφευρίσκω καὶ μηχανῶμαι. καὶ σοφίζομαι ὑφ' ἑτέρου ἀντὶ τοῦ διδάσκομαι, ὅπερ ἔχει ἐνεργητικὸν τὸ σοφίζω· καὶ

σοφιστὴς ὁ διδάσκαλος. ἐκάλουν δὲ οἱ παλαιοὶ σοφιστὰς καὶ τοὺς ἐννοίαις μὲν φιλοσόφοις χρωμένους, δι' εὐγλωττίαν δὲ σοφιστικὴν θαυμασθέντας.

Ἐν σπανίοις ἐτίθει κάλλιον λέγειν ἢ σπάνιον ἡγεῖτο.

Σχολαίτερον κρεῖττον ἢ σχολαιότερον. γίνεται δὲ τὸ μὲν σχολαίτερον ἀπὸ τοῦ σχολή, τὸ δὲ σχολαιότερον ἀπὸ τοῦ σχολαῖον, τοῦτο δὲ ἀπὸ τοῦ σχολή. ἔστι δὲ τριγενές· σχολαῖος γὰρ καὶ σχολαία καὶ σχολαῖον, Θουκυδίδης· σχολαῖοι κομισθέντες.

Σταδεία μάχη ἡ κατὰ σύστασιν γινομένη καὶ οὐ κατὰ δίωξιν.

Σύνθημα τὸ ἐπιφώνημα, ὃ λέγουσι τὰ στρατόπεδα ἐν ταῖς μάχαις γνώρισμα τῶν ὁμοφύλων· καὶ τὸ ἁπλῶς γνώρισμα. σύνθημα δὲ καὶ ἡ συμφωνία. Θουκυδίδης· ἐγίγνετο γὰρ ἀπὸ ξυνθήματος. ὃ καὶ συνθήκη γράφεται. λέγεται δὲ συνθήκη καὶ ἐπὶ λόγου, ἔτι δὲ καὶ σύνθεσις.

Στασιωτικὸν κάλλιον λέγειν τὸν στασιώδη λαὸν ἢ στασιαστικόν, ὡς ὁ αὐτός· ἀντειπόντος κατὰ τὸ στασιωτικόν.

Συγγραφεὺς οὐ μόνον ὁ συγγραψάμενος πόλεμόν τινα ἤ τι ἄλλο ἐφ' ἑαυτοῦ γενόμενον, οἷος ἦν Θουκυδίδης, ἀλλὰ καὶ τοὺς γράφοντας ἢ ψηφίσματα ἢ ἄλλο τι τοιοῦτον συγγραφέας ἐκάλουν. Θουκυδίδης· καὶ εἰσήνεγκαν οἱ συγγραφεῖς ἄλλο μὲν οὐδέν.

Σταυρὸς τὸ ὀρθὸν ξύλον· καὶ σκόλοψ τὸ αὐτό. ἀπὸ δὲ τοῦ σκόλοψ τὸ ἀνεσκολοπίσθη ταὐτὸν ὂν τῷ ἐσταυρώθη.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Στεφανίτης ἀγών, ἐν ᾧ ἐδίδοντο οἱ στέφανοι, οἷον πάλη, δρόμος καὶ τὰ τοιαῦτα. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ πρῶτον μὲν τοὺς ἐν τοῖς στεφανίταις δρόμους ἀπέκρυψαν. στεφανίτης δὲ ἄνθρωπος οὐκέτι, ἀλλὰ στεφανηφορῶν.

Σήσαμα καὶ ὁ καρπὸς καὶ ὁ τόπος, ἐν ᾧ ἐπωλεῖτο.

Σάκος Ἀττικοὶ δι' ἑνὸς κ, Ἕλληνες δὲ διὰ δύο.

Ἐπὶ δικαστηρίου συνεδικάζετο χρὴ λέγειν, οὐ συνεκρίνετο. συνεκρίνετο γὰρ ἀντὶ τοῦ ἡνοῦτο, ὡς ἔχει καὶ ἡ παρὰ τοῖς φιλοσόφοις σύγκρισις, ἧς τὸ ἐναντίον διάλυσις. ἐπεὶ καὶ ὅ φαμεν ἐν τῇ συνηθείᾳ σύγκρίνειν ἀντὶ τοῦ πρὸς τὸν δεῖνα τόνδε παρεξετάζειν [καὶ ἀντεξετάζειν], οὐχ εὕρηται παρὰ τοῖς δοκιμωτάτοις τῶν παλαιῶν, ἀλλ' ἀντὶ τούτου παραβάλλειν καὶ παρεξετάζειν [καὶ ἀντεξετάζειν] καὶ παρατιθέναι.

Σχέδιον τὸ μὴ μετὰ σκέψεως γινόμενον· καὶ σχεδιάζω καὶ αὐτοσχεδιάζω το ἀμελετήτως λέγω ἢ γράφω. λέγεται δὲ σχεδιάζω καὶ τὸ ψεύδομαι, καὶ κατασχεδιάζω τὸ καταψεύδομαι.

Σταθμοὶ καὶ αἱ τῶν θυρῶν παραστάδες καὶ οἱ κοινῶς λεγόμενοι σταῦλοι· ὅθεν σταθμοὶ καὶ οἱ κατὰ τόπους δημόσιοι ἀγροί, ἔνθα καὶ ἵπποι δημόσιοι ἐτρέφοντο. Λιβάνιος ἐν ἐπιστολῇ τῇ Πρότερον μὲν ἐθαύμαζον τὸν κράτιστον Ἑρμογένην· σταθμός ἐστι περὶ τὸν Εὐφράτην Καλλίνικος ὄνομα αὐτῷ.

Σαπέρδης τὸ σεσαπρωμένον [καὶ παλαιὸν] τάριχος.

Στέγος λέγε· τὸ δὲ τέγος ποιητικόν.

Συμβουλεύω ἐνεργητικῶς ἀντὶ τοῦ εἰς συμβουλὴν τῷδε καθίσταμαι· συμβουλεύομαι δὲ παθητικῶς ἀντὶ τοῦ συμβούλῳ χρῶμαι. Λιβάνιος ἐν μελέτῃ τῇ τοῦ φιλαργύρου· συνεβουλευόμην τοῖς ἐπιτηδείοις, ἥντινα αὐτῷ τέχνην δοτέον.

Συνώμοτον οὐ μόνον τὸ ἐκ συνωμοσίας γινόμενον ἢ βούλευμα ἢ ἔργον ἤ τι τοιοῦτον, ὅπερ καὶ τριγενές ἐστιν, ἀλλὰ καὶ αὐτὴ ἡ συνωμοσία. Θουκυδίδης ἐκ τῇ δευτέρᾳ· ἐκλιπόντων δὲ τῶνδε πρότερον τὸ ξυνώμοτον.

Οὐ μόνον κρύφα τοῦ δεῖνός φαμεν, ἀλλὰ καὶ σιγῇ τοῦ δεῖνος. Ἡρόδοτος ἐν τῇ δευτέρᾳ· σιγῇ τοῦ Αἰθίοπος ἐς τὴν δωρεὴν κελεύειν σφέας καὶ σποδὸν κομίζειν. τίθεται δὲ ἐνταῦθα τὸ σιγῇ ἀντὶ τοῦ ἀγνοίᾳ.

Στόλος οὐ μόνον ἡ διὰ θαλάσσης πορεία καὶ τὸ τῶν νεῶν πλῆθος, ἀλλὰ καὶ ἡ διὰ τῆς γῆς πορεία καὶ αὐτὴ ἡ στρατιὰ παρ' Ἡροδότῳ ἐν τῇ τρίτῃ· ἀπεὶς τὸν ἐπ' Αἰθίοπας στόλον ὀπίσω ἐπορεύετο. καὶ αὖθις ἐν τῇ αὐτῇ· ὁ μὲν ἐπ' Αἰθίοπας στόλος οὕτως ἔπρηξε.

Σύνθετον οὐ μόνον τὸ συγκείμενον ἔκ τινων, ἀλλὰ καὶ ἡ συμφωνία. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· ὥσπερ ἐκ συνθέτου τευ γενόμενα.

[Σκύλακας οὐ μόνον ἐπὶ κυνῶν δεῖ λέγειν, ἀλλὰ καὶ τῶν ἄλλων θηρίων, τὰ οὔπω ἡλικίας ἡμμένα. οὕτω καλεῖ Λουκιανὸς ἐν τῷ διαλόγῳ Δωρίδος καὶ Γαλατείας· ἔφερε δ' ἐν ταῖς ἀγκάλαις ἀθυρμάτιον ἄρκτου σκύλακα].

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# Τ

Τριακοντούτης ἄνθρωπος Ἀττικοὶ, οὐ τριακονταέτης, καὶ ἐπὶ τῶν ἑξῆς ἀριθμῶν ὁμοίως· τριακονταετὴς δὲ χρόνος. Λουκιανὸς δὲ ἀντὶ τοῦ εἰπεῖν ἑβδομηκοντοῦτις γυνὴ ἑβδομηκοντὶς εἶπε λέγων. ἐρᾶν προσποιούμενος γυναικὸς ἑβδομηκοντίδος.

Τήμερον Ἀττικοὶ, οὐ σήμερον. τὸ δὲ τήμερον εἶναι καὶ τὸ τήμερον ἔχον κρείττω ἢ τὸ νῦν εἶναι καὶ τὸ νῦν ἔχον. Ἀριστείδης ἔν τινι τῶν ἱερῶν· τὸ τήμερον εἶναι ἀλουσία καὶ ἔμετος μετὰ ῥαστώνης.

Τεύτλιον καὶ τεῦτλον Ἀττικοὶ. οὐ σεῦτλον. Ἀριστοφάνης ἐν βατράχοις·

τευτλίοις μικροῖς.

Τερατεία ἡ θαυματοποιία· τερθρεία δὲ ὁ μετὰ φλυαρίας τερατώδης λόγος.

Τεῖχος οὐδετέρως τὸ τῆς πόλεως, τοῖχος δὲ ἀρσενικῶς ὁ τῆς οἰκίας. τειχίον μέντοι ἐπὶ τῆς οἰκίας λεγόμενον, οὐχ ὡς ὁ τοῖχος, ἀλλ' ὡς τὸ τεῖχος γράφεται.

Τετρημένον, οὐ τετρυπημένον. ὅθεν καὶ ἡ παροιμία εἰς τετρημένον πίθον ἀντλεῖ ἐπὶ τῶν ἀνηνύτοις ἐπιχειρούντων λεγομένη.

Τέρα καὶ τερῶν Ἀττικοὶ, ὡς κρέα καὶ κρεῶν· τέρατα δὲ καὶ τεράτων ἁπλῶς Ἕλληνες.

Τυφὼς τυφῶ τυφῷ τυφών. ὡσαύτως καὶ πάντων τῶν μονοκλίτων αἱ αἰτιατικαὶ εἰς **ν** λήγουσι κατὰ τὸν κανόνα τὸν λέγοντα· πᾶσα εὐθεῖα εἰς **Ο** λήγουσα, ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰσοσύλλαβον, εἰς

ν αὐτὴν ἔχει λήγουσαν. σεσημείωται ἐν μὲν τοῖς ἀρσενικοῖς τὸ Ἄθω, ἐν δὲ τοῖς θηλυκοῖς τὸ Κῶ.

Τιμήσεται, οὐ τιμηθήσεται.

Τὸ τάριχος δεῖ λέγειν, οὐχ ὁ τάριχος.

Τελευταῖον· τελευταιότατον ἀδόκιμον, ὡς καὶ τὸ κορυφαιότατον.

Τεῦχος ἐπὶ ἀγγείου Ἀττικοί, ἐπὶ δὲ βιβλίου Ἕλληνες.

Τρωαὶ κάλλιον ἢ Τρῳάδες.

Ταμίαν Ἀττικοί, οἰκονόμον καὶ ἐπίτροπον Ἕλληνες.

Ἀεὶ πάντα τὰ ἀπορηματικὰ ὑποκοριστικῶς ἐκφέρονται, οἷον, τίσι χρήσωμαι; καὶ τίς γένωμαι; καὶ πῆ τράπωμαι;

Τυπτήσει κρεῖττον ἢ τύψει καὶ παίσει.

Τιμῶ οὐ μόνον τὸ δοξάζω, ἀλλὰ καὶ τὸ τιμωρίαν ἐπιτίθημί τινι ἀπὸ δοτικῆς εἰς γενικήν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· φυγῆς αὐτῷ τιμῆσαι τὸ Περσικόν. Λιβάνιος ἐν ἐπιστολῇ. τιμᾶν αὐτῷ τῶν ἐσχάτων εἴ τις ἐξελέγξειεν. ἐξ οὗ καὶ τίμημα ἡ τιμωρία. ὁ αὐτὸς ἐν ἐπιστολῇ τῇ Πρότερον μὲν ἐθαύμαζον· ἄλλως θ' ὅτι τὸ μὲν τίμημα τηρεῖν ἂν ἔχοι, τὸν δ' ἔξω τῆς αἰτίας ἀφιέναι. τιμῶμαι δὲ παθητικῶς καὶ ἐπὶ ἐνεργητικῆς σημασίας καὶ ἐπὶ παθητικῆς. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ· τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτου. καὶ πάλιν ἐν τῇ αὐτῇ· ἢ μή πάθω τοῦτο, οὗ Μέλιτός μοι τιμᾶται. καὶ πάλιν ἐν τῇ αὐτῇ· ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιτιμήσομαι, ὦ ἄνδρες Ἀθηναῖοι. καὶ Δημοσθένης· ἢ ἐγὼ πάσχειν ὁτιοῦν τιμῶμαι, ἂν μὴ τὰ δίκαια φῶ πρὸς ὑμᾶς. καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τιμῶμαι τὸν δεῖνα τοῦ δεῖνος, ὡς τὸ τοῦ παντὸς τιμῶμαι τὰ σά, ἤγουν εἰς λόγον τιμήματος τοῦ παντὸς ἄξια κρίνω. οὕτως ἔχει καὶ τὸ πόσου τιμᾶται ταῦτα τὰ ὤνια;ἤγουν πόσου τιμήματός εἰσιν ἄξια;ὅθεν καὶ τίμημα ἡ τῶν ὠνίων ἀξία.λέγεται τίμημα καὶ ἡ περιουσία,διὰ τὸ ἔθος εἶναι τοσοῦδέ τινος ποσοῦ τιμᾶσθαι τὰς τῶν παλαιῶν οὐσίας.Δημοσθένης·οἱ τὰ μεγάλα τιμήματα ἔχοντες.᾿Αριστείδης ἐν τῷ Παναθηναικῷ· οὐ τοὺς ἀπὸ τῶν μεγάλων τιμημάτων, ἀλλὰ τοὺς ἐπιεικεστάτους τὴν φύσιν.τίμημα δὲ καὶ ἡ πρόσοδος.Δημοσθένης.τὸ τίμημα τῆς πόλεως.

Τέμαχος κρέως ἢ ἄρτου ἢ πλακοῦντος οὐκ εἴποις, ἀλλὰ τομός· τὸ γὰρ τέμαχος μόνον ἐπὶ ἰχθύος. ᾿Αριστοφάνης ἐν Πλούτῳ·

πολύ τι χρῆμα τεμαχῶν καὶ κρεῶν ὠπτημένων.

διὰ γὰρ τοῦ εἰπεῖν καὶ κρεῶν ἐδήλωσεν, ὅτι τὸ τεμαχῶν ἐπὶ ἰχθύων λέγει. καὶ πάλιν ὁ αὐτὸς σαφέστερον τοῦτο ἐδήλωσεν ἐν νεφέλαις, λέγει γάρ·

εἶτ᾿ ἀντ᾿ αὐτῶν κατέπινον
κεστρᾶν τεμάχη.

εἰ καὶ Συνέσιος ἐν τῷ περὶ βασιλείας εἶπε· τεμάχ᾿ ἄττα ταρίχη κρεῶν ὑείων ἀπολελαυκότα τοῦ χρόνου.

Τὸ τυγχάνει ἀντὶ τοῦ ὑπάρχει μετὰ τοῦ ὢν τίθεται ἐκ παραλλήλου, οἷον φίλος μοι τυγχάνει ὤν, καὶ ἐχθρός μοι τυγχάνει ὤν. εὑρίσκεται δὲ καὶ χωρὶς τοῦ ὤν, ὡς παρ᾿ ἄλλοις τε πολλοῖς καὶ παρὰ Λιβανίῳ ἐν ἐπιστολῇ. ὥσπερ οὖν εἰ κυβερνήτης ἐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τύγχανες, ἠξίουν ἄν σε. τοῦτο δὲ γίνεται καὶ ἐπὶ τοῦ κυρῶ παρὰ ποιηταῖς, ὡς προέφημεν.

Ἐντέχνως λέγουσί τινες ἀμαθῶς· σὺ δὲ τεχνικῶς φάθι.

Τονθρίζω καὶ τονθρισμὸς Ἀττικοὶ, οὐ σὺν τὸ ο τονθορίζω καὶ τονθορισμός. ἔστι δὲ τονθρίζω καὶ τὸ κρύφα καὶ κατ' ἐμαυτὸν μετὰ τοῦ γογγισμοῦ τι λέγω.

Τί διαφέρει κάλλιον λέγειν ἢ τίνι διαφέρει· καθὰ καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου· τί δοῦλον ἢ ἐλεύθερον εἶναι διαφέρει;

Τέτευχε τιμῆς ἀδόκιμον λέγειν· τὸ δὲ τετύχηκε δόκιμον. [τὸ γὰρ τέτευχεν ἀντὶ τοῦ κατεσκεύασέν ἐστιν].

Ἁμαρτάνουσιν οἱ λέγοντες ταμία ἐπὶ γενικῆς καὶ μὴ ταμίου· μόνα γὰρ τὰ ὑπὲρ δύο συλλαβὰς ἢ εἰς ας ἢ εἰς **ρας** τρέπει τὴν γενικὴν εἰς **ου**, οἷον Μειδίας Μειδίου, Διαγόρας Διαγόρου, καὶ ταμίας ταμίου.

Τέχνη κυρίως ἡ ἄνευ λόγου μὴ δυναμένη εἶναι, οἷον γραμματικὴ, ρητορική. ἐπιστήμη ἡ μετὰ ἀποδείξεων,, οἷον τὰ τέσσαρα μαθήματα. ἐπιτήδευμα δὲ τὸ λόγου χηρεῦον, οἷον χαλκευτικὴ, τεκτονική. λέγονται δὲ καὶ αὗται καταχρηστικῶς τέχναι.

Τεχνήσασθαι τὸ μετὰ τέχνης κατασκευάσθαι· τεχνάσασθαι δὲ τὸ κακουργῆσαι. καὶ τέχνημα τὸ ἀπὸ τέχνης, τέχνασμα δὲ τὸ κακούγημαι

Τάπητες οἱ ἐξ ἑνὸς μέρους μαλὸν ἔχοντες, ἀμφιτάπητες δὲ οἱ ἐξ ἀμφοτέρων. λέγεται δὲ καὶ θηλυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κῶς [ἡ] δάπις [τῆς]δάπιδος. Συνέσιος ἐν ἐπιστολῇ· δάπιδα μεγάλην τῶν Αἰγυπτίων. εὕρηται δὲ καὶ τάπις τάπιδος καὶ δάπης δάπητος, ἃ πάντα παρεὶς τάπης τάπητος, ὡς Ἀττικοὶ χρῶνται, γράφε.

Τιμωρῶ ἐνεργητικῶς ὡς ἐπιτοπολὺ μὲν τὸ βοηθῶ, σπανίως δὲ τὸ κολάζω παρὰ μόνοις ποιηταῖς. Εὐριπίδης ἐν Ὀρέστῃ·

Παλαμήδους σε τιμωρεῖ φόνος.

τιμωροῦμαι δὲ ὡς ἐπιτοπολὺ μὲν τὸ κολάζω, σπανίως δὲ τὸ βοηθῶ· ἔστι δὲ καὶ τοῦτο μόνων ποιητῶν. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης.

τιμωρία καὶ ἡ κόλασις καὶ ἡ βοήθεια Θουκυδίδης ἐν τῇ τρίτῃ· καὶ ἀπὸ τῶν Ἀθηνῶν οὐδεμία ἐλπὶς ἦν τιμωρίας. καὶ ἀτιμώρητος [καὶ] ὁ ἀκόλαστος καὶ ὁ ἀβοήθητος. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· καὶ περιεώσμεθα ἐκ πάντων Πλαταιεῖς ἔρημοι καὶ ἀτιμώρητοι,

Ἀπὸ τοῦ θανῶ μέλλοντος ἕτερον ῥῆμα παράγωγον θανέω θανῶ καὶ θνῶ κατὰ συγκοπὴν, ἐξ οὗ θνήσω τέθνηκα τέθνημαι ἐτέθνην τεθνεὶς τεθνείην καὶ τροπῇ Δωρικῇ τοῦ ε εἰς α τεθναίην· ἀπὸ δὲ τοῦ ἐτέθνην ἐτέθνης ἐτέθνη τεθνῆναι καὶ Δωρικῶς τεθνάναι. εἰσὶ δὲ, οἳ λέγουσι ταῦτα καὶ οὕτως· ἀπὸ τοῦ θανέω θανῶ καὶ θνῶ θνῆμι ὁ δεύτερος ἀόριστος ἔθνην, ἡ μετοχὴ ὁ θνὰς καὶ κατὰ ἀναδίπλωσιν τεθνὰς τεθνάιτος τεθνάναι. καὶ τεθναίην τὸ εὐκτικόν.

Τριήρεος λέγε καὶ μὴ τριήρους, τριήρων καὶ μὴ τριηρῶν· ἠκολούθησε γὰρ τῷ συνήθων καὶ κακοήθων καὶ τοῖς ὁμοίοις. ταῦτα δὲ πάντα παρωξυτονήθησαν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ τὰ ἀπολελυμένα αὐτῶν προπαροξύτονα εἶ-
· τριήρεων γὰρ καὶ συνήθεων καὶ κακοήθεων λέ-
μεν. Ἀριστείδης ἐν δευτέρῳ τῶν Λευκτρικῶν· ἢ
ὸς τὸν τῶν τριήρεων ἐμπρησμόν.

Τεύξομαι ἀντὶ τοῦ ἐπιτυχὴς ἔσομαι· τευξοίμην
ξόμενος τεύξεσθαι. τὸ δὲ ἐτευξάμην ἀντὶ τοῦ
εσκεύασα, ὥστε οἱ τὸ τεύξασθαι ἀντὶ τοῦ ἐπι-
χεῖν γράφοντες ἁμαρτάνουσι.

Τί τις ἂν εἴποι οἱ δόκιμοι· τὸ δὲ τί ἄν τις εἴποι
νόν.

Τὸ τρέφομαι καὶ ὅταν πρὸς τὸν τρέφοντα λέγηται
ὅταν πρὸς τὴν τροφὴν, δοτικῇ συντάσσεται,
ν τρέφομαί σοι ἤγουν ὑπὸ σοῦ τρέφομαι, καὶ τρέ-
μαι ἄρτῳ. σιτοῦμαι δὲ αἰτιατικῇ, ὡς παρ' Ἀρι-
φάνει·

πῶς οὖν
κυνὸς βορὰν σιτούμενος μάχῃ σὺ κυ-
νοκεφάλῳ;

Τάχα ἀντὶ τοῦ ταχέως ποιηταί· οἱ δὲ ῥήτορες
χέως καὶ τάχιστα καὶ ἐν τάχει. τὸ δὲ τάχα ἀντὶ
ἴσως καὶ ἀμφότεροι· ὅπερ καὶ μόνον τίθε-
καὶ μετὰ τοῦ ἴσως, ποτὲ δὲ καὶ μετὰ τοῦ πού
δηλοῦντος τὸ ἴσως ἐκ παραλλήλου, οἷον τάχ'
γέγονε, καὶ τάχ' ἴσως, καὶ τάχα που, καὶ ἴ-
που.

Τολμητὴς, οὐ τολμητίας· ἀνάττικον γὰρ τοῦτο.
κυδίδης· καὶ παρὰ δύναμιν τολμηταὶ καὶ παρὰ
μην κινδυνευταί.

Οἱ μὲν Ἀττικοὶ τελευτῶν ἐποίησα λέγουσι καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τελευτῶσα ἐποίησα καὶ τελευτῶντες ἐποίησαν. ὡσ-αύτως καὶ ἐπὶ τῶν ἄλλων εὐθειῶν καὶ πασῶν τῶν αἰτιατικῶν. οἱ δὲ κοινοὶ τελευταῖον λέγουσι.

Τέλεος καὶ τελέως ἐπίρρημα καὶ τελεῶ δοκιμώ-τερα ἢ μετὰ τοῦ ε.

Ταὐτὸν λέγε, μὴ τὸ ταὐτόν· τὸ γὰρ ταὐτὸν τὸ αὐτὸ ὂν κατὰ συναλοιφὴν ταὐτὸ γέγονε. γράφε-ται δὲ καὶ ταὐτὸν καὶ ταὐτὸ ἐπαγομένου τε συμ-φώνου καὶ ἐπαγομένου φωνήεντος, οἷον ταὐτόν τι ποιεῖς καὶ ταὐτό τι ποιεῖς καὶ ταὐτὸν ἐποίησε καὶ ταὐτὸ ἐποίησε. ὡσαύτως καὶ τοιοῦτον λέγε καὶ τοι-οῦτό τι καὶ τοιοῦτόν ἐστι καὶ τοιοῦτό ἐστι. τὸ δὲ ταὐτότης καὶ ταὐτίζεται οὐ ῥητορικά.

Τετυφωμένος καὶ ὁ ἀλαζὼν καὶ ὁ ἐμβρόντητος καὶ ἔξω φρενῶν ἐκ μεταφορᾶς τοῦ κεραυνωθέντος Τυφῶνος. Δημοσθένης· λυρεῖν καὶ τετυφῶσθαι δό-ξαιμι.

Τίκτειν κυρίως ἐπὶ γυναικός· τὸ δὲ γεννᾶν ἐπ' ἀνδρός, ὅθεν καὶ γεννήτωρ καὶ γεννήτης ὁ πατήρ. Ὅμηρος δὲ καὶ ἐπὶ ἀνδρὸς τῷ τίκτειν ἐνίοτε χρῆ-ται, ὡς ἔχει τὸ

ὃν ἀθάνατος τέκετο Ζεύς

καὶ τὸ

τίκτει ἀνὴρ πολλοῖσιν ἀνάσσων.

Τίθην λέγουσι τὴν τοῦ πατρὸς ἢ τῆς μητρὸς μη-τέρα, ἀλλ' οὐ μάμμην· οὐδεὶς γὰρ τῶν ἀρχαίων εἶπε· μᾶλλον μὲν οὖν τὴν μητέρα τινὲς αὐτῶν μάμμην καὶ μάμμιον ἐκάλεσαν· σὺ δὲ μητέρα λέγε. τὴν δέ γε τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφὴν τιθίδα φασί

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δήλωσε δὲ Λιβάνιος ἀμφότερα ἐν τῇ τοῦ Ἀχιλ-
έως ἀπολογίᾳ, λέγων περὶ τῆς τοῦ Ἀγαμέμνονος
υγατρός· τρόπων ἤσκησεν ἀρετήν; καὶ πότερον
ην τίθην ἢ τὴν τιθίδα μεμίμηται; ἤγουν τὴν μάμ-
ην αὐτῆς, τὴν Ἀερόπην δηλαδὴ ἢ τὴν Λήδαν ἢ
ην θείαν αὐτῆς Ἑλένην, τὴν τῆς μητρὸς ἀδελφὴν
ηλονότι. ἀλλαχοῦ μέντοι τὴν προμάμμην διὰ τῆς
θίδος ὁ αὐτὸς ἐμφαίνει Λιβάνιος, τὸν δὲ τοῦ πάπ-
υ ἢ τῆς μάμμης πατέρα ἐπίππαπον λέγει, ὡς ἐν
περὶ τῆς λάλου μελέτῃ· καὶ λέγει τίθας καὶ τι-
δας καὶ πάππους καὶ ἐπιπάππους, καὶ εἰς εἰκο-
ὸν εἰς τριακοστὸν ἀναβαίνει πρόγονον. τινὲς
οἴονται ἐπίπαππον λέγεσθαι καὶ τὸν τοῦ πάπ-
υ ἀδελφόν. τίτθη δὲ λέγεται ἡ μαστὸν παρέ-
υσα. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· τοὺς τοιού-
υς λόγους καὶ μύθους ταῖς τίτθαις ἄμεινον παριέ-
ι τοῖς παιδαρίοις, ἐπειδὰν ὕπνου δέονται, διηγεῖ-
αι. τροφὸς δὲ καὶ τιθηνὸς ἡ τὴν ἄλλην ἐπιμέλειαν
ουμένη τοῦ παιδὸς μετὰ τὸν ἀπογαλακτισμόν·
έντοι τοῦ πατρὸς πατὴρ οὐ μόνον πάππος, ἀλλὰ
πάτρως λέγεται. Λιβάνιος ἐν τῇ [τοῦ] Δικάζε-
Ποσειδῶν Ἄρει ὑπὲρ Ἁλιρροθίου μελέτῃ· πάν-
οὐκ ἔμελλες ἐρυθριάσειν Ἁλιρροθίου κηδεστὴς
λούμενος, οὐδέ γε πάτρως ἐκ τῶν τούτου φύντων,
ι πάππος τῶν τούτου υἱέων. καὶ Ἡρόδοτος· ὅ
δὴ πρεσβύτερος τῶν παίδων τῷ Κίμωνι Στησα-
ης ἦν τηνικαῦτα παρὰ τῷ πάτρῳ Μιλτιάδῃ τρε-
μενος, ἤγουν τῷ πάππῳ. πατὴρ γὰρ τοῦ Κίμωνος
Μιλτιάδης. οὐ μόνον δὲ ὁ πάππος πάτρως λέγε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ται, ἀλλὰ καὶ ὁ τοῦ πατρὸς ἀδελφός· καὶ ὁ αὐτὸ Ἡρόδοτος μάρτυς· Ἀρτάβανος ὁ Ὑστάσπεω πάτρως ἐὼν Ξέρξῃ. ὁ γὰρ Ὑστάσπης υἱοὺς εἶχε τότε τοῦ Ξέρξου πατέρα Δαρεῖον καὶ τὸν Ἀρτάβανον. ὡσαύτως καὶ μήτρως οὐ μόνον ὁ τῆς μητρὸς πατὴρ, ἀλλὰ καὶ ὁ ταύτης ἀδελφός. πάτρων δὲ τοῦ νῦν ἀπελευθέρου δεσπόσας. ἔτι γε μὴν ἀνεψιὸς ὁ ἐξάδελφος, καὶ αὐτανέψιος ὁ πρωτεξάδελφος, καὶ ἐξανέψιος ὁ ἐξαδέλφου υἱός· ἀδελφιδοῦς δὲ ὁ ἀδελφόπαις. πρόγονοι καὶ οἱ ἄνω τοῦ γένους οἷον πρόππαπος καὶ οἱ ἀνωτέρω· καὶ δὴ καὶ οἱ ἐκ προϋπαρχούσης τινὶ γυναικὸς παῖδες τῆς ὕστερον ληφθείσης πρόγονοι λέγονται. ἔκγονος ὁ υἱός· ἔγγονος δὲ ὁ υἱοῦ ἢ θυγατρὸς υἱός, καὶ ἐγγόνη ἡ τούτων θυγάτηρ. κυρίως δὲ θυγατριδοῦς μὲν ὁ τῆς θυγατρὸς υἱός, καὶ θυγατριδῆ ἡ ταύτης θυγάτηρ. υἱωνὸς δὲ ὁ τοῦ υἱοῦ υἱὸς, καὶ υἱωνὴ ἡ τοῦ υἱοῦ θυγάτηρ. ἔστι δὲ κρεῖττον υἱιδοῦς καὶ υἱιδῆ λέγειν, ὥσπερ καὶ ἀδελφιδοῦς καὶ ἀδελφοῦ υἱός, καὶ ἀδελφιδῆ ἡ ἀδελφοῦ θυγάτηρ. φυσικὸς υἱὸς ὁ ἐκ πορνείας γεγονώς τινι, ᾧ ἐναντίον ὁ γνήσιος, ᾧ πάλιν ἐναντίον ὁ νόθος, ** ὃν λέγουσιν υἱὸν θετόν. κηδεστὴς καὶ ὁ πενθερὸς καὶ ὁ γαμβρὸς, ἀλλὰ δὴ καὶ ὁ γυναικάδελφος, ὡς ἔχει καὶ τὸ τοῦ Εὐριπίδου Ἑκάβῃ

τοῦτον εὖ δρῶν ὄντα κηδεστὴν σέθεν
εὖ δράσεις.

ὁ γὰρ Πολύδωρος ἀδελφὸς ἦν Κασάνδρας, ἣ Ἀ

ἐμνων ἐχρῆτο. [ἔστι δὲ καὶ κηδεστὴς ὁ ἁπλῶς γγενής].

Τροφέα λογογράφοι· θρεπτῆρα ποιηταί.

Τέλος οὐ μόνον τὸ πλήρωμα, ἀλλὰ καὶ ἡ δαπά-. Θουκυδίδης ἐν τῇ τετάρτῃ· κακῶς τε καὶ ἡμᾶς τοὺς ποιούντων τέλεσι τοῖς οἰκείοις. Ἀριστείδης τετάρτῳ τῶν ἱερῶν· ἰδίοις τέλεσι πλέων. τέλη ληθυντικῶς καὶ αἱ τῶν Λακεδαιμονίων καί τινων λλων ἀρχαί. Συνέσιος ἐν ἐπιστολῇ· καὶ οἶδα τὴν ὸς Λεωνίδαν ἐπιστολὴν τῶν τελῶν τέλη καὶ τὰ ρατιωτικὰ τάγματα. Ἡρόδοτος ἐν τῇ ὀγδόῃ· με-πεμψάμενος οὖν τοὺς ταξιάρχους τῶν τελέων.

Τίλλω ἐνεργητικῶς τὸ ἀνασπῶ· τίλλομαι δὲ πα-τικῶς καὶ τὸ ἀνασπῶ καὶ τὸ ἀνασπῶμαι. Λουκια-ς ἐν τῷ ὄνειρος ἢ ἀλεκτρυών· τί τοῦτο; ἄμφω ἀ-ἐτιλας; ὁ αὐτὸς ἐν τῷ αὐτῷ· ὅταν ὁ Κροῖσος πε-τετιλμένος τὰ πτερὰ γέλωτα παρέχῃ. ὁ αὐτὸς ὖθις ἐν τῷ περὶ τῆς Περεγρίνου τελευτῇ· καὶ τὰς ίχας ἐτίλλετο ὑποφειδόμενος μὴ πάνυ ἕλκειν. ὶ ἐν τῷ περὶ τοῦ πένθους· παῦσαι τιλλόμενος τὴν μην.

Τεθνήξεται ἐπὶ [τοῦ] μετ' ὀλίγον μέλλοντος λέγε. λάτων δὲ ἐν Γοργίᾳ ἐπὶ μέλλοντος ἐνεργητικοῦ γει· τεθνήξει οὗτος ὃ ἂν δόξῃ. καὶ Λιβάνιος· εἰ ἡ τις ἄρτου μεταδοίη, τεθνήξει. ὅπερ καὶ Λουκιανὸς τῷ ψευδο[σοφιστῇ ἢ] σολοικιστῇ ἀπαγορεύει.

Τόξευμα οὐ μόνον ἡ τοξεία, ἀλλὰ καὶ αὐτὸ τὸ τό-ν. Ἡρόδοτος ἐν τῇ ἕκτῃ· οὔτε ἵππου ὑπαρχούσης φι οὔτε τοξευμάτων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

[Τὸ ταλαιπωρῶ καὶ ἀμεταβάτως καὶ μεταβατικῶς εὕρηται, οἷον οὐ μόνον ἐγὼ ταλαιπωρῶ, ἀλλὰ καὶ τὸν δεῖνα ταλαιπωρῶ. Ἰσοκράτης ἐν τῷ περὶ εἰρήνης· καὶ πάντας τρόπους τεταλαιπώρηκεν ἡμᾶς. καὶ Λιβάνιος ἐν μελέτῃ τῇ νόμος τὸν εὑρόντα θησαυρὸν χιλίας τῇ πόλει διδόναι δραχμάς. τοὺς οἰκέτας λιμῷ ταλαιπωροῦντι]·

## Υ

Ὕαλος Ἀττικοί. Ἀριστοφάνης ἐν νεφέλαις·

τὴν ὕαλον λέγεις·

ὕελος δὲ ἁπλῶς Ἕλληνες.

Ὕσπληξ θηλυκῶς ἐρεῖς, οὐχ ὁ ὕσπληξ.

Ὑγιᾶ κρεῖττον ἢ ὑγιῆ, διὰ τὸ τοὺς Ἀττικοὺς ἀεὶ εἰς α ποιεῖν τὴν τῶν τοιούτων συναίρεσιν, οὔσης καθαρᾶς τῆς εὐθείας, τοὺς δὲ κοινοὺς εἰς η. τὸ αὐτὸ γίνεται καὶ ἐπὶ τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν πληθυντικῶν τῶν οὐδετέρων· τὰ ὑγιᾶ γάρ φαμεν· ὡσαύτως καὶ ἐπὶ τοῦ χρέος καὶ κλέος. καὶ ταῦτα γὰρ εἰς α τήν τε εὐθεῖαν καὶ αἰτιατικὴν τῶν πληθυντικῶν ἔχουσι· χρέα γὰρ καὶ κλέα λέγομεν.

Ὑπνομαχεῖν Ξενοφῶν, καὶ Συνέσιος ἐν ἐπιστολῇ· ὑπὸ μεσοπύργιον τεταγμένος ὑπνομαχῶ. σὺ δὲ ἀνθίστασθαι ἢ ἀντιπράττειν τῷ ὕπνῳ λέγε, ἢ ὕπνου κρατεῖν.

Καὶ ὕδερος καὶ ὕδρωψ.

Ὑποκορίζομαι τὸ μετὰ σεμνολογίας σμικρύνω. Ἀριστοφάνης ἐν Πλούτῳ·

νιττάριον καὶ βάττιον ὑπεκορίζετο.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ριστεΐδης ἐν τῷ κατὰ τῶν ἐξερχομένων· ἀνθρώπων
ὑν ὑποκοριζομένων τὴν αὐτῶν φαυλότητα καὶ δυ-
υχίαν. [καὶ] Πλούταρχος ἐν τῷ περὶ τοῦ πῶς ἂν
ς διακρίνειε τὸν κόλακα τοῦ φίλου· ἀστείως ὑπο-
ρίζεσθαι τὰς μὲ πόρνας ἑταίρας, τὰς δὲ συντά-
ις φόρους, φύλακας δὲ τὰς φρουρὰς τῶν πόλεων.
Ὑφίσταμαι ἀντὶ τοῦ ὑπομένω λογογράφοι. Λου-
ανὸς ἐν Τίμωνι· ὑπόστηθι, ὦ Τίμων δι' ἐμέ. ἀντὶ
ῦ ὑπισχνοῦμαι δὲ ποιηταὶ, καὶ Θουκυδίδης ἅπαξ.
αγε τοὺς ἄνδρας, ὥσπερ ὑπέστη. ὑφίσταμαι καὶ
τὶ τοῦ κρυφίως ἵσταμαι. Λουκιανὸς ἐν τῷ φιλο-
ευδεῖ· ἐν σκοτεινῷ ὑποστάς. καὶ ἀντὶ τοῦ ὑποχω-
ῶ. ὁ αὐτὸς ἐν Τίμωνι· ἐγὼ δὲ ὑμῖν ὑποστήσομαι.
ίσταμαι καὶ τὸ ὑποκάτω τινὸς ἵσταμαι, καὶ ὑφί-
ημι τὸ ὑποβάλλω τι.
Ὕπαιθρον μὴ λέγε ἀλλὰ ὑπαίθριον,
Υἱέα μηδαμῶς εἴπῃς, ἀλλ' υἱόν· μηδὲ υἱεὺς εἴ-
ς, ἀλ' υἱός· μηδὲ υἱέϊ, ἀλλ' υἱεῖ καὶ υἱῷ. υἱέος
λέγων διὰ τοῦ ο μικροῦ γράφε, ὡς καὶ δρομέος.
ουκυδίδης ἐν βιβλίῳ πρώτῳ· Καμβύσου τοῦ υἱέος
τοῦ. καὶ υἱέσι λέγε, καὶ υἱεῦσι· καὶ υἱεῖς υἱέων.
έας καὶ υἱεῖς, κρείττω γὰρ ταῦτα τοῦ υἱοὶ καὶ
ῶν καὶ υἱοῖς καὶ υἱούς.
Ὑποτίθησι μὲν τὰ ἐνέχυρα ὁ δανειζόμενος· ὑπο-
θεται δὲ ὁ λαμβάνων ταῦτα ἤγουν ὁ δανείζων.
ὶ ὑποτίθημι τὸ ὑποβάλλω καὶ τὸ συμβουλεύω.
ὶ ὑποκείμενος λόγος ὁ κατὰ συμβουλὴν λεγόμε-
ς. Ἡρόδοτος ἐν τῇ τρίτῃ· τρόπῳ τῷ ἐξ ἐμοῦ ὑπο-
μένῳ ἀκέο.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὑπισχνεῖται κυρίως τις τὸ ἀξιωθὲν διδόναι. ἐπαγγέλλεται δὲ ὁ δίχα ἀξιώσεως παρέχειν βουλόμενος.

Ὑπάρχω τὸ προκατάρχω, ὡς τὸ ὑπῆρξεν ἀδίκου μάχης. Ἀριστείδης ἐν τῷ δευτέρῳ τῶν Λευκτρικῶν· οὐ τὸ μὴ ἀντιποιεῖν τοὺς ὑπάρξαντας. καὶ ὑπαρχὴ ἡ προκάταρξις. καὶ ἀντὶ τοῦ εἰμί. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ὑπῆρχον δὲ εἰς ἅπαντα νικῶντες. καὶ ὑπάρχω τὸ ἀρχήν τινα ἄρχω. Συνέσιος ἐν ἐπιστολῇ· τοὺς ὑπάρξαντας ὡς βελτίστους αἱρεῖσθαι.

Τὸ ὑπάγω μὴ εἴπῃς ἀντὶ τοῦ ἀπέρχομαι, ἀλλ' ἀντὶ τοῦ ὑπὸ ζυγὸν ἄγω. Ὅμηρος·

ὕπαγε ζυγὸν ὠκέας ἵππους.

οἱ δὲ βοηθοῦντες τῇ λέξει φασίν, ὅτι ὑπάγει λέγεται τὸ παράγειν, ὅπερ ὑφηγητὴς ἀντὶ τοῦ προηγητής, καὶ ὑπογραμμὸς ἀντὶ τοῦ προγραμμός, ὥς φησι Ἀριστοφάνης·

ἐγὼ ὑπαίρω τὸν ὅρκον,

ἀντὶ τοῦ προαίρω καὶ ὑποτίμησις ἡ προτίμησις. καὶ ὑπειπεῖν ἀντὶ τοῦ προειπεῖν, καὶ ὑπολαβὼν ἀντὶ τοῦ προλαβών, ὡς Θουκυδίδης· οὐ γὰρ ἂν Κέρκυραι ὑπολαβόντες βίᾳ ἡμῶν εἶχον. οὕτως οὖν καὶ ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν. Ἀριστοφάνης ἐν Βατράχοις·

ὑπάγεθ' ὑμεῖς τῆς ὁδοῦ.

καὶ Εὔπολις ἐν Βαπταῖς.

σὺ δ' ὕπαγ' εἰς τοὔμπροσθεν.

καὶ Θουκυδίδης· παραινέσας ὑπῆγε τὸ στράτευμα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑπάγω καὶ τὸ ὑποβάλλω. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· καὶ τὰ δῆλα τοῖς ἀδήλοις ὑπάγειν.

Ὑπέχω τὸ ὑποτίθημι, ὡς τὸ ὑποσχὼν τὴν χεῖρα παρὰ τῷ θεολόγῳ, καὶ ὑπέχει τὰ ὦτα τοῖς λεγομένοις· καὶ τὸ δίδωμι, ὡς τὸ ὑπέχω δίκην.

Ὑπισχνοῦμαι· τὸ δὲ ὑπόσχομαι βάρβαρον· ἐὰν ὑπόσχωμαι δὲ ἐν χρήσει.

Ὑφηγοῦμαι τὸ διδάσκω καὶ τὸ παραινῶ· καὶ ὑφηγητής. καὶ ὑφηγοῦμαι τὸ προοδοποιῶ. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

ἀλλ' ἕρφ'. ὑφηγοῦ.

μὴ εἴπῃς δὲ ἐκ τούτου καὶ ὑφηγητὴς ὁ προοδοποιός.

Ὑπολαμβάνω τὸ ὑποπτεύω· καὶ τὸ προλαμβάνω ὡς ἔφαμεν. καὶ ὑπολαμβάνω τὸ ἀποκρίνομαι. Θουκυδίδης· ὑπελάμβανον οὐ χρεὼν εἶναι αὐτοὺς ἐπαγγεῖλαι. καὶ ὑπολαμβάνω τὸ ὑποδέχομαι. Ἡρόδοτος ἐν τῇ πρώτῃ· νῦν ὧν μὲν εὖ παραινεούσης ὑπόλαβε τὸν λόγον. καὶ αὖθις ἐν τῇ τρίτῃ· Μαιάνδριος δὲ ὑπέλαβε τὸν λόγον.

Ὑπερήφανος ἄνθρωπος ὁ ὑπέρφρων καὶ ἀλαζών· ὑπερήφανος δὲ παρασκευή ἡ μεγάλη καὶ θαυμαστή. Πλάτων ἐν [τῷ] Φαίδωνι ὑπερήφανον γάρ μοι ἐδόκει εἶναι εἰδέναι τὰς ἱστορίας ἑκάστου. καὶ ὑπερηφανωτέρα οἰκία ἡ τῶν ἄλλων μείζων. Δημοσθένης· τὰς ἰδίας οἰκίας κατεσκευάκασιν, οὐ μόνον τῶν πολλῶν ὑπερηφανωτέρας.

Ὑπολύω τὸν πόδα, καὶ ὑπολύω τὸν βοῦν ἤγουν ὑπὸ τὸν ζυγὸν ὄντα δεδεμένον λύω. Θουκυδίδης ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῇ τετάρτῃ· τὰ μὲν ὑπολύοντες κατέκοπτον, τῶν δὲ οἰκείωσιν ἐποιοῦντο.

Ὕειον κρέας μὴ λέγε. ἀλλ' ὑὸς κρέας, καὶ ὑεικὸν ὡς βοεικόν· εἰ καὶ Συνέσιος λέγει, ὡς προέφημεν, ταρίχη κρεῶν ὑείων. ἀπολελαυκότα τοῦ χρόνου.

Ὑπόστρωμα Ἀττικοί, οὐ περίστρωμα.

Τὸ ὑπόγυον οἱ δοκιμώτατοι ἐπὶ τοῦ μέλλοντος τιθέασιν, ἤγουν ὑπόγυος κίνδυνος ὁ ὅσον οὔπω ἐσόμενος· τινὲς δὲ ἐπὶ τοῦ παρεληλυθότος, ὡς ἔχει καὶ τὸ παρὰ τῷ θεολόγῳ Γρηγορίῳ ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ· τὸ ὑπόγυον τῆς ὕβρεως αἰσχυνόμενος.

Ὑψιπέτης ὁ εἰς ὕψος πετόμενος· ὑψιπετὴς δὲ ὁ ἐξ ὕψους πεσών. ὡσαύτως καὶ δρυπέτης καὶ δρυπετὴς καὶ ὅσα τοιαῦτα.

Οὐ μόνον ὑβριστικώτερος καὶ ὑβριστικώτατός φαμεν, ἀλλὰ καὶ ὑβριστότερος καὶ ὑβριστότατος. Ἀριστείδης· πολλῷ προπετέστεροι καὶ ὑβριστότεροι πάντες οἱ τούτου τοῦ σχήματος μετασχόντες.

Ὑπνώδης παρ' οὐδενὶ τῶν δοκίμων, ὑπνηλὸς δὲ ἢ ὕπνῳ δουλεύων. Λιβάνιος ἐν τῷ πρὸς Ἰουλιανὸν ὑπὲρ τῆς τῶν Ἀντιοχέων ὀργῆς· ὑπνηλοῦ δὲ βασιλέως.

Ὑπτιάζειν καὶ τὸ ὕπτιόν τινα καὶ ῥᾴθυμον εἶναι καὶ τὸ ὡσανεὶ θρύπτεσθαι. Αἰσχίνης· ὑπτιάζων καὶ κατασκοπούμενος ἑαυτὸν ὡς ἐν παλαίστραις καὶ διατριβαῖς γεγονώς. καὶ Φιλόστρατος· ὑπτιάζει καὶ ὡραΐζεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὑποστρέφω κάλλιον ἢ ἀναστρέφω.

Ὑπερμαζῶ οὐ μόνον τὸ μεγάλους μαστοὺς ἔχω, ὡς Συνέσιος ἐν ἐπιστολῇ· αὗται γὰρ ὑπερμαζῶσι καὶ ἀσυμμέτρως ἔχουσι τῶν στέρνων, ἀλλὰ καὶ τὸ ὑπερτρυφῶ, οἱονεὶ τὸ τραπέζῃ χρῶμαι οὐκ εὐτελεστάτῃ οἷον ἀπὸ μάζης, ἀλλὰ καὶ πλεῖστα σιτία ἐχούσῃ. Λουκιανὸς ἐν τῷ πλοῖον ἢ εὐχαί· ὑπερμαζᾶς γάρ, ὦ Ἀδείμαντε.

Οὐ μόνον ὑφίσταμαι ἀντὶ τοῦ ὑπισχνοῦμαί φησι Θουκυδίδης, ἀλλὰ καὶ ὑποδέχομαι ἐν τῇ δευτέρᾳ· τόν τε ἐπὶ Θρᾴκης πόλεμον ὑπεδέχετο καταλύσειν. καὶ ἐν τῇ ὀγδόῃ· Τισσαφέρνης αὐτῷ ὑπεδέξατο, μὴ ἀπορήσειν αὐτοὺς τροφῆς. καὶ Ἡρόδοτος ἐν τῇ δευτέρᾳ· ἄδειάν τε διδόντα καὶ μεγάλα ὑποδεκόμενον. ὁ αὐτὸς δὲ καὶ ἀναδέχομαι λέγει ἐπὶ τοῦ αὐτοῦ. ἀναδεκομένους ὑποχειρίας παρέξειν τὰς Ἀθήνας.

Τὸ ὑπερορῶ ὡς ἐπιτοπολὺ μὲν γενικῇ συντάσσεται, παρ' Ἀττικοῖς δὲ καὶ αἰτιατικῇ ἔστιν ὅτε. ὁ αὐτὸς ἐν τῇ ἕκτῃ· ὑπεριδόντες τὴν ἐν τῷ παρόντι ἡσυχίαν. ὅπερ καὶ ἐπὶ τοῦ ὑπερφρονῶ γίνεται. Ἀριστοφάνης ἐν νεφέλαις.

ἔπειτ' ἀπὸ ταρροῦ τοὺς θεοὺς ὑπερφρονεῖς.

καὶ Λιβάνιος ἐν ἐπιστολῇ τῇ Νῦν ἔγνων εἶναι, ὃ λέγομαι· οἷά τις ἀλαζὼν τοὺς πάντας ὑπερφρονῶν.

Ὕποπτος καὶ ὁ ὑποπτευόμενος καὶ ὁ ὑποψίαν ὁτοιοῦν ἔχων. Εὐριπίδης ἐν Ἑκάβῃ·

ὕποπτος ὢν Τρωϊκῆς ἁλώσεως.

ὑπόπτης δὲ μόνον ὁ ὑποπτεύων. Θουκυδίδης ἐν τῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔκτῃ· χαλεπῶς ἦν τότε καὶ ὑπόπτης εἰς τοὺς περὶ τῶν μυστικῶν τὴν αἰτίαν λαβόντας.

Καὶ ὑπολογίζομαι καὶ ὑπόλογον τίθεμαι. Ἀριστείδης ἐν Λευκτρικῷ τρίτῳ· καὶ περιίδωμεν μηδένα ὑπόλογον θέμενοι.

Ὑποκρίνομαι τὸ μετὰ προσποιήσεως καὶ σχηματισμοῦ τι ποιῶ καὶ ὑπόκρισις αὐτὸ τὸ ἐπίπλαστον ἔργον. ὑποκρίνομαι καὶ τὸ ἀποκρίνομαι, καὶ ὑπόκρισις τὸ αὐτό. Ἡρόδοτος ἐν τῇ πρώτῃ· Τελμησέες μὲν ταῦτα ὑπεκρίναντο Κροίσῳ. καὶ αὖθις ἐν τῇ αὐτῇ· ταῦτα μὲν ἡ Πυθίη ὑπεκρίνατο τοῖσι Λυδοῖσι. καὶ πάλιν ἐν τῇ αὐτῇ· καὶ τῶν χρηστηρίων τὰς ὑποκρίσιας.

Τὴν ὑπὲρ πρόθεσιν τὴν ἐπάνω σχέσιν δηλοῦσαν πρὸς γενικὴν ἐκφέρουσι Ἀττικοί, Ἕλληνες δὲ πρὸς αἰτιατικήν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· τῷ ὑπὲρ κεφαλῆς ἀέρι. ὡσαύτως καὶ τὴν ὑπό. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ· τά τε μετέωρα φροντιστὴς καὶ τὰ ὑπὸ γῆς πάντα ἀνεζητηκώς. καὶ αὖθις ἐν τῷ αὐτῷ λόγῳ· ζητῶν τά τε ὑπὸ γῆς καὶ τὰ ἐπουράνια. Πλούταρχος· πᾶς γὰρ ὁ ὑπὸ γῆς τε καὶ ὑπὲρ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος κατὰ Πλάτωνα.

Ὑπόψηφος καὶ ὁ ὑπὸ ψῆφόν ἐστι λέγε, μὴ ὑποψήφιος. Συνέσιος ἐν τῷ περὶ προνοίας τοὺς ὑποψήφους τῆς βασιλείας.

## Φ

Φαῦλον τὸ κακὸν καὶ τὸ εὐτελές· φλαῦρον δὲ μόνον τὸ κακόν.

Φακῇ θηλυκῶς ἡ ἐψημένη· φακοὶ δὲ ἀρσενικῶς ἐπὶ πληθυντικοῦ οἱ ἀνέψητοι. λέγονται δὲ φακοὶ καὶ τὰ ἐπὶ τῶν τελμάτων χλοώδη, ἃ κοινῶς λέγονται βρύα. (καὶ παρὰ τῇ θείᾳ γραφῇ ἀγγεῖόν τι, ὡς ἐν τῷ τετάρτῳ βασιλείῳ· ζήτησον οὖν τὸ δορὺ καὶ τὸν φακὸν τοῦ ὕδατος].

Φροῦδος Ἀττικοί· ἀφανὴς Ἕλληνες.

Φενακίζω, φενακισμὸς καὶ φέναξ λογογράφοι· φενάκη δὲ ποιητικώτερον.

Φλήναφος καὶ ἡ φλυαρία καὶ ὁ φλυαρῶν, ὥσπερ λῆρος καὶ ἡ ληρῳδία καὶ ὁ ληρῶν. γράφεται δὲ καὶ φλυαρεῖν καὶ φληναφεῖν· ὡσαύτως καὶ φλυαρία· φλύαρος δὲ καὶ πολυλόγος καὶ πολυλογεῖν κοινά.

Φιλόγελως φιλόγελω Ἀττικοί, φιλογέλωτος δὲ Ἕλληνες.

Φιλογύνης Ἀττικοί, οὐ φιλογύναιος.

Ὁ φθεὶρ Ἀττικόν, ἡ φθεὶρ δέ κοινόν· (ὡς) Πλούταρχος τοὺς τοῦ Σύλλα φθεῖρας.

Φάκελος δεδεμένον φορτίον. Συνέσιος ἐν ἐπιστολῇ· φάκελον ἐπιστολῶν Διογένει δούς. Θουκυδίδης φακέλους ὕλης ἀγρίας σφάκελος δὲ ὁ μετὰ φλεγμονῆς σπασμός, καὶ σφακελίζω τὸ φλεγμαίνω. Ἀριστείδης ἐν Μιλτιάδῃ· τοῦ πάθους αὐτῷ σφακελίσαντος·

Φθείρου σκωπτικὸν ἀντὶ τοῦ μετὰ φθορᾶς ἀπαλλάττου. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἀλλὰ φθείρου καὶ μὴ γρύζῃς.

Φθῆναι κάλλιον ἢ φθάσαι.

Φερεφάττα Πλάτων μόνος· Φερσεφόνη καὶ Περ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σεφόνη οἱ λοιποί. Περσέφασσα δὲ ποιητικώτερον.

Φθίνοντος μηνὸς Ἀττικοί, οὐχ ὑπολήγοντος. Συνέσιος ἐν ἐπιστολῇ· ἀλλὰ μή τι φθίνοντός γε μηνός.

Φθινόπωρον κάλλιον ἢ μετόπωρον.

Φαυλίζειν εἴποις, οὐκ εὐτελίζειν.

Φύραμα, οὐ ζύμη. καὶ φυραθέντα ἄλευρα, οὐκ ἐζυμωμένα.

Φυὴ οὐ μόνον ἡ ἡλικία, ἀλλὰ καὶ ἡ φυσικὴ χάρις. Ὅμηρος ἐν ά Ἰλιάδος·

οὐ δέμας, οὐδὲ νὴν, οὔτ' ἄρ φρένας,
οὔτε τι ἔργα.

Ἀριστείδης ἐν τῷ ἐπὶ Ἀλεξάνδρῳ ἐπιταφίῳ· ἀγαθοῦ παντὸς φυὴν μετεσχηκυῖα.

Φοινοικίς ἔνδυμα Λακωνικὸν, ὁπότε εἰς πόλεμον ἴοιεν, ὁμόχρουν αἵματι, ὡς ἂν, εἴποτε πληγῆναι συμβαίη, μὴ εἰς φιλοψυχίαν αὐτοὺς ἐμβάλῃ τὸ αἷμα ὁρώμενον.

Φάρμακα καὶ τὰ θεραπεύοντα καὶ τὰ φθείροντα· φαρμακεία δὲ ὡς ἐπιτοπολὺ ἡ διὰ δηλητηρίου τινὸς γινομένη βλάβη· φαρμακεύω μέντοι τὸ θεραπεύω μόνον, „ὡς παρ' Ἱπποκράτει τὸ πέπονα φαρμακεύειν καὶ κινέειν μὴ ὠμά· γοητεία δὲ τὸ ἐπικλήσεσί τε καὶ ἐπῳδαῖς χρῆσθαι· λαμβάνουσι δέ (ἄμφω τό τε φαρμακεύω καὶ γοητεύω καὶ τὰ ἐξ αὐτῶν ὀνόματα καὶ ἐπὶ λόγων καὶ ἠθῶν καὶ τοιούτων τινῶν· εὕρηται δὲ) τὰ φάρμακα καὶ ἐπὶ τῶν χρωμάτων, οἷον πολλοῖς φαρμάκοις διηνθισμένη εἰκών· Ἡρόδοτος ἐν τῇ πρώτῃ· οἱ προμαχεῶνες ἠνθισμένοι εἰσὶ φαρμάκοισι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Φαρμακός ἀνήρ, φαρμακὶς δὲ γυνή. Ἀριστοφάνης ἐν νεφέλαις.

γυναῖκα φαρμακίδα.

Φοιτητής, ὁμιλητής καὶ πεπλησιακώς κάλλιον λέγειν ἢ μαθητής.

Φονεύς Ἀττικοί· ἀνδροφόνος Ἕλληνες.

Φανός ἐπὶ λαμπάδος, ἀλλά μὴ ἐπὶ κερατίνου λέγε, τοῦτον δὲ λυχνοῦχον.

Φασιανοὶ ἵπποι. Ἀριστοφάνης ἐν νεφέλαις·

τοὺς φασιανοὺς οὓς τρέφει Λεωγόρας.

φασιανικοί δὲ ὄρνεις.

Φερέγγυος καὶ ὁ ἐγγυητὴς πράγματός τινος εἰς τὸ ἐκπληρῶσαι αὐτό. Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

ὧν ἐγὼ φερέγγυος.

καὶ ὁ ἀσφαλὴς καὶ βέβαιος· ὁ αὐτὸς Αἰσχύλος ἐν τῷ αὐτῷ δράματι·

φερέγγυον φρούρημα.

Φάσκαλος ὁ ἐκ δέρματος ὁ λεγόμενος ἰδιωτικῶς τζαμανδᾶς, ἐν ᾧ τὰ ἱμάτια φέρομεν· φασκώλιον δε δερμάτινόν τι πηρίδιον. Λιβάνιος ἐν ἐπιστολῇ· λόγον τε κομίζων καὶ φασκώλιον καινὸν, ὅπως τὸ μὲν εἴπῃ, τὸ δὲ μικρόν ὂν ἐμπλήσῃ.

Φάγαινα Ἀττικοί, οὐ φαγέδαινα.

Φεύγω τὸ κατηγοροῦμαι. καὶ φυγή ἡ κατηγορία. ἀποφεύγω δὲ, ὅταν νικήσας ἀπολυθῶ τῆς κατηγορίας· καὶ ἀποφυγή ὡσαύτως, διώκω δὲ τὸ κατηγορῶ καὶ τὸ ζητῶ καὶ τὸ ἀπωθοῦμαι. καὶ δίωξις ἡ κατηγορία

καὶ ἡ ζήτησις καὶ τὸ ἀπωθεῖσθαι. τὸ δὲ διωγμὸς ἀδόκιμον.

Φράσον ἀντὶ τοῦ εἰπέ· φράσαι δὲ ἀντὶ τοῦ διανοήθητι. Ὅμηρος ἐν α' Ἰλιάδος.

σὺ δὲ φράσαι, εἴ με σαώσεις.

Φριμάττεσθαι ἐπὶ τράγου. φρυάττεσθαι δὲ ἐπὶ ἵππου, καὶ φρύαγμα. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

φρυάγμαθ' ἱππικά.

Φθοῖς παρ' Ἀττικοῖς πλακούντιόν(τι) πλατὺ καὶ περιφερὲς, ὃ παρ' Ἕλλησι λέγεται πόπανον. Ἀριστοφάνης ἐν Πλούτῳ·

τοὺς φθοῖς ἀφαρπάζοντα καὶ τὰς ἰσχάδας.

Τὸ φθάνειν ὅταν μὲν πρός τινα ἐρίζοντα λέγηται, τὸ προλαμβάνειν δηλοῖ· ὅταν δὲ πρὸς τὸ τέλος τῆς κινήσεως ὁ κινούμενος ᾖ, τὸ καταλαμβάνειν. καθὸ σημαινόμενον λέγεται τὸ οὐκ ἂν φθάνοις ἰὼν εἰς τὸ δικαστήριον, ἤγουν οὐκ ἂν καταλαμβάνοις τοὺς ἕλκοντας, οὕτω σε ἕλξουσι συντόμως. ἀπὸ μεταφορᾶς τούτου λέγεται καὶ ἐφ' ἑτέρων. οἷον οὐκ ἂν φθάνοιτε ἀποθνήσκοντες, ἤγουν ἀνάρπαστοι γενήσεσθε. ἀπὸ τούτου αὖθις κατὰ μεταφορὰν καὶ τὸ διαρκεῖν.

Ἔστιν ὅτε οἱ ῥήτορες ὡραϊσμοῦ χάριν μεταφορικοῖς τισι χρῶνται ὀνόμασι, λέγοντες φρόνημα θαλάσσης καὶ χειμῶνος αὐθάδεια καὶ κυνῶν ἀγορὰ καὶ ἔθνος κοράκων καὶ εἴ τι τοιουτότροπον.

Φίλιος ὁ τῆς φιλίας ἔφορος θεὸς, καὶ φίλιος ἀγρὸς ὁ φιλικὸς· καὶ φίλιος πόλις. Θουκυδίδης δὲ φιλία πόλις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λέγει φησὶ γάρ· νομίζοντες πόλιν τε σφίσιν ἀπὸ παλαιοῦ φιλίαν, τουτέστι φίλην. καὶ πάλιν. ἐν γῇ φιλίᾳ τίθεται.

Φανθεὶς καὶ ἀποφανθεὶς Ἀττικοὶ λέγουσιν, οὐ φανεὶς οὐδὲ ἀποφανείς. Ἀριστείδης ἔν τινι τῶν ἱερῶν. ταυτὶ ἦν τὰ φανθέντα. καὶ πάλιν ἐν τῷ Παναθηναϊκῷ. ὡς τὸ μὲν προσθήκην μικρὰν αὐτοῖς ἀποφανθῆναι.

Φοβερὸν τὸν φόβον ἐμποιοῦν, ἐπίφοβον δὲ τὸ φοβούμενον. ὥσπερ καὶ φοβερὸν τὸ φθόνῳ χρώμενον, ἐπίφθονον δὲ τὸ φθονούμενον.

Φύσις οὐσίας διαφέρει. οὐσία μὲν γάρ ἐστιν ἡ ἑκάστου ὕπαρξις, φύσις δὲ ἡ ἐνοῦσά τινι δύναμις οἷον φύσις τῆς γῆς τὸ βλαστάνειν βοτάνας, καὶ φύσις τοῦ πυρὸς θερμαίνειν. ἀφ' οὗ καὶ εὐφυὴς ὁ εὖ ἔχων τῆς φύσεως, καὶ ἀφυὴς ὁ τούτῳ ἐναντίως ἔχων. καὶ εὐφυΐα καὶ ἀφυΐα. ἰστέον δέ, ὡς οὐ μόνον ἐπὶ ἀνθρώπων ταῦτα λέγεται, ἀλλὰ καὶ ἐπὶ φυτῶν καὶ ἐπὶ γῆς. καὶ γὰρ καὶ εὐφυὲς καὶ ἀφυὲς φυτὸν λέγομεν καὶ τὸ τῆς γῆς εὐφυὲς καὶ ἀφυές. λέγεται φύσις καὶ τὸ φυσικὸν προτέρημα, οἷον κάλλος ἤ τι τοιοῦτον. Εὐριπίδης ἐν Ὀρέστῃ·

ὦ φύσις, ἐν ἀνθρώποις ὡς μέγ' εἶ κακόν.

τὸ τῆς Ἑλένης ἐμφαίνων κάλλος. [ἐπὶ δὲ θεοῦ φύσις καὶ οὐσία ταὐτόν].

Φυσᾶν τὸ σφοδρῶς πέμπειν πνεῦμα ἐκ τοῦ στόματος· ἀφ' οὗ καὶ φυσώδη ὄσπρια καὶ ἐμποιοῦντα πνεύματα. φυσᾶν ἀπὸ τούτου [καὶ] τὸ ὀγκοῦσθαι καὶ ἐπαίρεσθαι. Λιβάνιος ἐν προθεωρίᾳ μελέτης

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

τῆς Τῷ κατορθώσαντι πόλεμος· φυσᾷ καὶ σοβεῖ καὶ θυμοῦσθαι δοκεῖ.

Φλοιὸς τὸ ἐκτὸς τοῦ δένδρου, φλιαὶ δὲ θηλυκῶς αἱ τῶν θυρῶν παραστάδες.

Φάσματα λέγεται τὰ ἐν ὕπνῳ φαινόμενα καὶ ὅσα φαντάζουσι τὰ δαιμόνια νύκτωρ ἢ καὶ μεθ' ἡμέραν ἐν ταῖς ἐρημίαις ἀπὸ τοῦ ἀέρος λαμβάνοντα μορφάς, οἵας ἂν ἐθέλωσι. λέγε οὖν φάσμα, ὡς Ἀττικοὶ, καὶ μὴ φάντασμα· φαντάζω καὶ φαντάζομαι. εὕρηται δὲ καὶ φαντάζομαι τὸ ἁπλῶς φαίνομαι. Εὐριπίδης ἐν Ὀρέστῃ·

μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται,

ἤγουν φαίνεται. λέγεται δὲ φαντάζεσθαι καὶ τὸ ἀνατυποῦσθαι καὶ ἀναπλάττειν, ὡς ἔχει ἡ φαντασία καὶ τὸ φανταστικὸν πνεῦμα.

Φροντιστήρια τὰ διδασκαλεῖα τῶν φιλοσόφων. λέγοιντο δ' ἂν οὕτω καὶ τὰ παρ' ἡμῖν μοναστήρια, ὡς τῆς ὄντως φιλοσοφίας ἐνταυθοῖ μελετωμένης.

Φωνὴ λογογράφοι, αὐδὴ δὲ ποιηταί.

Φορὸς ἄνεμος ὁ τοῖς πλέουσι δεξιός· καὶ φορὸς ἡ συκῆ σύκων ἤγουν φορὰν σύκων ἔχουσα. καὶ γῆ φορὸς καρπῶν, ὅθεν καὶ πάμφορος γῆ ἡ πάντα φέρουσα.

Φορὰ ῥητόρων καὶ ἄλλων τινῶν· καὶ φορὰ ἡ εἰσφορά. Λιβάνιος ἐν ἐπιστολῇ· ἔπειθ' ὑπὲρ ἀρχαίας ἐνοχλεῖται φορᾶς. καὶ πάλιν ἐν ἐπιστολῇ· ἔπειτα ἐν ταῖς φοραῖς μὴ μεῖζον ἔστω τῆς νεὼς τὸ φορτίον.

Τὸ φοβοῦμαι καὶ πρὸς ἀπαρέμφατον συντάσσε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ται καὶ πρὸς ὄνομα, οἷον φοβοῦμαι τεθνήξεσθαι καὶ φοβοῦμαι θάνατον.

Τὸ φυτεύειν ἐπὶ φυτῶν λέγεται, ἤγουν τὸ τὴν ρίζαν αὐτῶν καταβάλλειν εἰς γῆν. ἀπὸ τούτου παρὰ ποιηταῖς καὶ ἐπ' ἀνθρώπων, ὡς παρ' Εὐριπίδῃ ἐν Ὀρέστῃ·

οὗτος φυτεύει Πέλοπα.

καὶ ἁπλῶς ἐπὶ τοῦ καταβάλλεσθαι ἀρχὴν ἐν πράγμασιν. εὕρηται δὲ καὶ φιτύειν ἀντὶ τοῦ σπείρειν ἐπὶ πατρὸς καὶ παράγεται ἀπὸ τοῦ φῖτυς ὁ πατήρ, ὡς παρὰ Σοφοκλεῖ ἐν Αἴαντι μαστιγοφόρῳ·

ἐφ' ῇ
λαβὼν ἐπακτὸν ἄνδρ' ὁ φιτύσας πατήρ.

ἔστι δὲ δῆλον ἀπὸ τοῦ μέτρου, ὅτι τὸ φι ι γράφεται καὶ οὐ ψίλον ἀπὸ τοῦ φυτεύω.

Φορος κυρίως τὸ ὑπὲρ τῆς ἰδίας εἰσφερόμενον γῆς· τέλος δὲ ἡ ὑπὲρ τῆς ἐμπορείας συντέλεια.

Φιλανθρωπία οὐ μόνον ἡ ἀπὸ τῶν ὑπερεχόντων εἰς τοὺς ἐλάττους εὐμένεια, ὡς ἡ τοῦ θεοῦ φιλανθρωπία περὶ ἡμᾶς καὶ τοῦ βασιλέως περὶ τὸν ὑπήκοον καὶ τῶν ἀρχόντων περὶ τοὺς ὑπὸ χεῖρα, ἀλλὰ καὶ ἡ τινος ἁπλῶς πρὸς ὁντινοῦν φιλία καὶ διάθεσις ἀγαπητική. Αἰσχίνης· τούτου προσποιούμενος ἐραστὴς εἶναι καὶ τὸ μειράκιον εἰς τὴν φιλανθρωπίαν ταύτην προσκαλεσάμενος. καὶ πάλιν· διὰ τὴν γνῶσιν καὶ φιλανθρωπίαν τῆς τέχνης.

Φωρῶ τὸ ὑπονοῶ· καὶ καταφωρῶ τὸ κατάδηλον ποιῶ. Λουκιανὸς ἐν τῷ Μίκυλλος ἢ ἀλεκτριών· ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναβυήσαντά με καταφωρᾶσαι αὐτόν. καὶ φωρῶμαι παθητικῶς τὸ κατάδηλος γίνομαι.

Φαῦλος ἐπὶ θηλυκοῦ κάλλιον ἢ φαύλη. ὁ αὐτὸς ἐν εἰκόσιν· οὐ φαύλου συνέσεως παράδειγμα.

Φορταγωγόν ναῦν φαμεν καὶ φορτίδα καὶ φορτικήν. Θουκυδίδης ἐν τῇ ἕκτῃ· ἐπὶ πλοίου φορτηικοῦ.

Φυγὴ καὶ ἡ δίωξις καὶ ἡ κατηγορία. Λιβάνιος ἐν ἐπιστολῇ· ὑπέρ τε τῆς πράσεως καὶ τῆς τῶν ρητόρων φυγῆς. φυγὴ καὶ οἱ φυγάδες. Θουκυδίδης ἐν τῇ ὀγδόῃ· καὶ γὰρ καὶ φυγὴ αὐτῶν ἔξω ἦν ὑπὸ τῶν Ἀθηναίων παρὰ τοῖς Πελοποννησίοις. καὶ Ἀριστείδης ἐν τῷ πρὸς Θηβαίους περὶ συμμαχίας πρώτῳ· Φοιβίδου τὴν Καδμείαν καταλαβόντος τήν τε φυγὴν ἐδεχόμεθα.

Τὸ φοιτᾶν οὐ μόνον ἐπὶ τῶν εἰς διδασκάλους ἰόντων λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν ἐπί τι ἕτερον συνεχῶς. Πλάτων ἐν Φαίδωνι· πολλάκις μοι φοιτῶν τὸ αὐτὸ ἐνύπνιον. καὶ πάλιν ἐν Γοργίᾳ· ἐάν τις εἰς παλαίστραν φοιτήσας εὖ ἔχων τὸ σῶμα.

Ἰστέον ὅτι πάντα τὰ παρακελευσματικὰ ἐπιρρήματα, τὸ φέρε, τὸ δεῦρο, τὸ ἴθι καὶ τὸ ἄγε καὶ εἰς συμβουλευτικὰ καὶ ὑποτακτικὰ καὶ εἰς προστακτικὰ συντάσσονται. Ἀριστοφάνης ἐν νεφέλαις·

φέρ᾽ ἴδω, τί ὀφείλω;

ὁ αὐτὸς ἐν τῷ αὐτῷ·

φέρε δή μοι φράσων·
συνηγοροῦσιν ἐκ τίνων;

καὶ πάλιν ἐν τῷ αὐτῷ·

δεῦρ᾽ ἔλθ᾽ ἵνα κλάῃς.

(καὶ] Πλάτων ἐν Γοργίᾳ· ἴθι δὴ καὶ τόδε ἐπισκεψώμεθα. καὶ πάλιν ἐν τῷ αὐτῷ· ἴθι δή μοι ἀπόκριναι οὕτως. καὶ πάλιν ἐν ταῖς πολιτείαις· ἀλλ' ἄγ' ἐπειδὴ τοῦτ' ἀπετελέσαμεν, ἀναμνησθῶμεν πόθεν δεῦρο ἐξετραπόμεθα. Ἀριστοφάνης ἐν νεφέλαις·

ἄγε δὴ ταχέως τουτὶ ξυνάρπασον·

τίθενται δὲ ἔστιν ὅτε τὸ ἄγε καὶ τὸ φέρε καὶ ἀσύντακτα ἐπιφερομένων ἐρωτήσεων. Πλάτων ἐν Γοργίᾳ· φέρε δὴ [ἡ] ῥητορικὴ περὶ τί τῶν ὄντων τυγχάνει οὖσα; Ἀριστείδης ἐν τῷ εἰς Δία· ἄγ' ὦ πάντα εἰδυῖαι, πόθεν ἀρξώμεθα; εἰσὶ δὲ ταῦτα πάντα καὶ ῥήματα προστακτικά. τὸ δεῦρο δὲ καὶ ἀντὶ τοῦ ἐνταῦθα.

## X

Χρήστης ὁ δανείζων. Ἀριστοφάνης ἐν νεφέλαις·

ὑπὸ γὰρ τόκων χρήστων [τε] δυσκολωτάτων.

καὶ ὁ τὸ δάνειον δεχόμενος. Λιβάνιος ἐν ἐπιστολῇ· εἰ δεήσει με χρήστην ὄντα περινοστεῖν ἀδυνατοῦντα τὸ χρέος ἐκτῖσαι· δανειστὴς δὲ ὁ δανείζων μόνον.

Χρυσοῦς χρυσῆ καὶ χρυσοῦν εἴποις, οὐ χρύσεος χρύσεα καὶ χρύσεον· Ἰωνικὰ γάρ. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ ἀργυροῦς καὶ χαλκοῦς καὶ τῶν ἄλλων.

Χρῆται, οὐ χρᾶται.

Χρηστότης, οὐκ ἀγαθότης οὐδ' ἀγαθοσύνη.

Χθιζός, οὐ χθεσινός. Ἀριστείδης· ὁ χθιζὸς ἡμῖν ἑστιάτωρ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ ἐχθὲς καὶ χθές. Ἀριστοφάνης ἐν νεφέλαις·

ἐχθὲς δέ γ' ἡμῖν δεῖπνον οὐκ ἦν ἑσπέρας.

Συνέσιος ἐν ἐπιστολῇ· χθές καὶ πρώην ἐπὶ τῶν ἔναγχος ὑπάτων.

Χαιρήσεις, οὐ χαρήσῃ. Ἀριστοφάνης ἐν Πλούτῳ·

οὔ τοι μὰ τὴν Δήμητραν χαιρήσεις ἔτι.

Χαίρειν οὐ μόνον ἐπὶ ἡδονῆς, ἀλλὰ καὶ ἐπὶ τοῦ φθείρεσθαι. Ἀριστείδης· τὰ γὰρ εἴδη χαιρέτω, τερετίσματα γάρ εἰσι.

Χανδὸν πιεῖν Ἀττικοί. Συνέσιος ἐν τῷ περὶ προνοίας· ἀλλ' οὐδὲ χανδόν ποτε Ὄσιρις ἔπιε κεχηνότως δὲ καὶ ἀθρόως Ἕλληνες.

Χολὴ καὶ χολᾷ ἐπὶ μανίας. Ἀριστοφάνης ἐν νεφέλαις.

σὺ δ' εἰς τοῦτο τῶν μανιῶν ἐλήλυθας.

ὥστ' ἀνδράσι πείθῃ χολῶσιν.

Οὐ μόνον τρυφῶ καὶ τρυφή, ἀλλὰ καὶ χλιδῶ καὶ χλιδή. Αἰσχύλος ἐν Προμυθεῖ.

χλιδᾶν ἔοικας τοῖς παροῦσι πράγμασι.

Συνέσιος ἐν τῷ περὶ βασιλείας· γαύρους τε καὶ χλιδῶντας. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

καὶ ζῶνα τοὐμὸν οὐ χλιδαῖς ἠσκημένον.

Χαμαὶ ἀντὶ τοῦ ἐν τῇ γῇ, ὡς τὸ χαμαὶ κάθηται· χαμάζε δὲ ἀντὶ τοῦ εἰς τὴν γῆν. Ἀριστείδης ἐν

Μιλτιάδη· οὐ χαμάζε ἔπεσε τὸ κέρδος. χαμόθεν τὸ ἐκ τῆς γῆς. Συνέσιος ἐν τῷ περὶ προνοίας τὴν μὲν χαμόθεν ἀναβλύζουσαν. οἱ δὲ κυρίως Ἀττικοὶ χαμᾶθεν προπερισπωμένως λέγουσιν, οἷς καὶ αὐτὸς ἕπου.

Ἡ χάραξ ἐπὶ ἀμπέλου, ὡς ἡ παροιμία ἡ χάραξ τὴν ἄμπελον ἐλυμήνατο ἐπὶ τῶν καθ' ἑαυτῶν εἰσαγόντων βοηθούς· ὁ χάραξ ἐπὶ στρατοπέδου.

Χάριν καὶ τὴν δωρεὰν καὶ τὴν ἀντίχαριν λέγε. Σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ·

χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί.

χάριν καὶ τὴν ἡδονήν, ὡς ὅταν λέγωμεν τὴν τῶν λόγων χάριν. Χάρις καὶ ὄνομα θεᾶς, οὗτινος ἡ αἰτιατικὴ οὐκ ἐκφέρεται δισυλλάβως, ὡς ἐπ' ἐκείνων, ἀλλὰ τρισυλλάβως· οὐ γὰρ Χάριν λέγομεν, ἀλλὰ Χάριτα.

Χαρίζομαι οὐ μόνον τὸ δωροῦμαι, ἀλλὰ καὶ τὸ χάριν τινὶ ποιῶ, οἷον χαριζόμενός σοι ἔπραξα τάδε.

Χρῆν καὶ ἀντὶ τοῦ ἔπρεπε κατὰ ἀφαίρεσιν τοῦ ε. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

χρῆν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσι δίκην.

καὶ ἀντὶ τοῦ πρέπει. ὥσπερ γὰρ τὸ προσῆκε καὶ ἀντὶ τοῦ ἔπρεπε καὶ ἀντὶ τοῦ πρέπει ἐστίν, οὕτω καὶ τὸ χρῆν καὶ ἀντὶ τοῦ ἔπρεπε καὶ ἀντὶ τοῦ πρέπει ἐστί. τὸ αὐτὸ δὲ γίνεται καὶ ἐπὶ τοῦ ἔδει. χρῆν καὶ ἐπὶ τοῦ ἀπαρεμφάτου ἀντὶ τοῦ πρέπειν. Εὐριπίδης ἐν Ἑκάβῃ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

πότερα τὸ χρῆν σφ' ἐπήγαγεν ἀνθρωποσφαγεῖν;

Χρῶνται δὲ τούτῳ ποιηταί· λεγογράφοι δὲ τὸ χρῆναι ἀεί.

Χρυσίδες κυρίως αἱ ἀνατιθέμεναι τοῖς θεοῖς χρυσαῖ φιάλαι. Λιβάνιος ἐν ἐπιστολῇ· κάλλιον αὐτοῖς χρυσίδων βότρυες ἐξημμένοι τῶν ἀγαλμάτων. καταχρηστικῶς δὲ καὶ πᾶσα ἐκ χρυσοῦ φιάλη χρυσὶς λέγεται.

Χρή με ποιῆσαι πάντοτε [λέγε], οὐ χρή μοι, εἰ καὶ Σοφοκλῆς ἅπαξ εἶπε. τὸ δὲ χρὴ ἀντι τοῦ χρεία ἐστὶν ἀπὸ δοτικῆς εἰς γενικήν. Εὐριπίδης ἐν Ὀρέστῃ.

ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί χρὴ φίλων;

τινὶ δηλονότι· ἔστι δὲ τοῦτο ποιητικώτερον.

Χρήσθων ἀντὶ τοῦ χρήσθωσαν Ἀττικοὶ λέγουσιν· ὡσαύτως καὶ ἐπὶ πάντων τῶν δυϊκῶν ἐν τοῖς προστακτικοῖς παθητικοῖς, οἷον ἐχέσθων, μεμνήσθων καὶ ὅσα τοιαῦτα. ἐπὶ δὲ τῶν ἐνεργητικῶν οὐ δυϊκοῖς τῶν πληθυντικῶν χρῶνται, οἷον ποιείτων, λεγέτων, ἀλλὰ γενικαῖς τῶν πληθυντικῶν τῶν μετοχῶν· ποιούντων γὰρ λέγουσι καὶ λεγόντων, λαμβάνοντες ἔξωθεν τὸ ἔστωσαν, ἀντὶ τοῦ ἔστωσαν τῶν ποιούντων ἢ τῶν λεγόντων ἀντὶ τοῦ ποιείτωσαν ἢ λεγέτωσαν. Θουκυδίδης· ἤν δέ τι διάφορον ᾖ πρὸς ἀλλήλους, δικαίῳ χρήσθων· ἀποδόντων δὲ Ἀθηναίοις Λακεδαιμόνιοι Ἀμφίπολιν· τίθεται δὲ ἡ τοιαύτη σύνταξις οὐ μόνον ἐπὶ ἀρσενικῶν, ἀλλὰ καὶ ἐπὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θηλυκῶν, οὐ θηλυκοῦ γένους οὔσης τῆς τοιαύτης γενικῆς, ἀλλ' ἀρσενικοῦ. Πλάτων ἐν [τῇ] δευτέρᾳ τῶν πολιτειῶν· μηδ' αὖ ὑπὸ τούτων ἀναπειθόμεναι αἱ μητέρες τὰ παιδία ἐκδειματούντων.

Χοῦν καὶ προχοῦν Ἀττικοί. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ἠκρωτηριασμένους προχοῦν εἰς τὸ πέλαγος. χωννύειν Ἕλληνες.

Χοὴ εἶδος μέτρου ἐπὶ ὑγροῦ Ἀττικοὶ λέγουσιν. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἓξ χοὰς χωρήσεται.

χοῦς δὲ ἁπλῶς Ἕλληνες. προχοὴ δὲ ἡ τοῦ ὕδατος πρόχυσις· προχόη δὲ τὸ ἀγγεῖον, ὡς ὁ αὐτὸς ἐν νεφέλαις·

εἶτ' ἄρα Νείλου προχοαῖς ὑδάτων χρυ-
σέης ἀρύεσθαι προχόῃσι.

Χάριν οἶδά σοι καὶ χάριν ἔχω σοι καὶ χάριν ὁμολογῶ· εὐχαριστῶ δὲ οὐδεὶς τῶν δοκίμων εἴρηκεν. εὕρηται δὲ τὸ χάριν ἔχω οὐ μόνον ἀντὶ τοῦ εὐχαριστῶ, ἀλλὰ καὶ ἀντὶ τοῦ εὐχαριστίαν δέχομαι. Θουκυδίδης ἐν τῇ ὀγδόῃ· χάριν ἂν δήπου ἐν τούτῳ μείζω ἔτι ἔσχεν, ἤγουν εὐχαριστήθη.

Χύσις σοφίας ἐρεῖς, οὐ χύμα.

Χαίρειν ἐν ἐπιστολῇ Πλάτων λέγεται γράψαι πρῶτος, καὶ Κλέων Ἀθηναίοις μετὰ τὸ λαβεῖν τὴν Πύλον. ἔνθεν καὶ τὸν κωμικὸν ἐπισκόπτοντα εἰπεῖν·

πρῶτός γ' ἡμᾶς ὁ Κλέων,
χαίρειν προσεῖπες πολλὰ λυπῶν τὴν
πόλιν.

ἰστέον δὲ, ὡς αἱ τῶν παλαιῶν προσρήσεις αἱ μὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἑωθιναὶ χαῖρε, αἱ δὲ ἑσπεριναὶ ὑγίαινε, ὡς Λουκιανὸς ἐν τῷ ὑπὲρ τοῦ ἐν τῇ προσαγορεύσει πταίσματος· ἀφικόμενος παρὰ σὲ, ὡς προσείποιμι τὸ ἑωθινὸν, δέον τὴν συνήθη ταύτην φωνὴν ἀφεῖναι καὶ χαίρειν κελεύειν, ἐγὼ δὲ ὁ χρυσοῦς ἐπιλαθόμενος ὑγιαίνειν σε ἠξίουν.

Χρησιμεῦσαι μὴ λέγε, ἀλλὰ χρήσιμον γενέσθαι.

Ἀμφότερα λέγε, καὶ χωρὶς εἰ μὴ τόδε καὶ χωρὶς εἰ τόδε, εἰ καὶ Φρύνιχος ἀδόκιμον εἶναι λέγει τιθέμενον μετὰ τοῦ μή. ὥσπερ γάρ φαμεν πλὴν εἰ τόδε καὶ πλὴν εἰ μὴ τόδε, καὶ ἐκτὸς εἰ μὴ τόδε καὶ ἐκτὸς εἰ τόδε, οὕτω καὶ χωρὶς εἰ μὴ τόδε λέγειν, οὐ μόνον χωρὶς εἰ τόδε· τὸ γὰρ πλὴν καὶ τὸ ἐκτὸς τὸ χωρὶς δηλοῦσι. Λουκιανὸς ἐν τῷ βίων πράσεις· πλὴν εἰ μὴ σκαπανέα ἢ ὑδροφόρον· καὶ ἐν τῷ ἀναβιοῦντες ἢ ἁλιεύς· ἐκτὸς εἰ μὴ κατὰ τὸν Θάμυριν ἢ τὸν Εὔρυτον εἴη. κρεῖττον μέντοι, εἰ χωρὶς τοῦ μὴ λέγοιτο.

Χλανδίον καὶ χλανίσκιον. Εὐριπίδης ἐν Ὀρέστῃ.

χλανιδίων δ' ἔσω
κρυφθείς.

καὶ Αἰσχίνης· εἰ γάρ τίς σου καὶ κομψὰ ταῦτα χλανίσκια περιελόμενος.

Χλιήνας Ἀττικοὶ, οὐ χλιάνας.

Καὶ χαμαιτύπη, οὐ χαμαιτυπίς. δηλοῖ δὲ τὴν ἄδοξον καὶ εὐτελῆ πόρνην.

Ὥσπερ φαμὲν χρῶ τὸ μαντείαν δίδωμι, οἷον ἔχρησεν αὐτῷ ὁ θεὸς, οὕτω καὶ χρῶμαι τὸ μάντιν ποιοῦμαι. Λιβάνιος ἐν τῇ τοῦ Ἀχιλλέως ἀπολογίᾳ·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ θεῷ χρησόμενος ὑπὲρ τοῦ τραύματος. καὶ ἀμφότερα δοτικῇ.

Χρεία καὶ χρήσιμος Ἀττικοί· ὁ χρεῖος δὲ ἤγουν ὁ χρήσιμος καὶ τὸ χρεῖον φιλοσόφων καὶ ποιητῶν. Σοφοκλῆς·

χρεῖ' ἢ λέγειν,

ἤγουν χρήσιμα. φασὶ δὲ οἱ ποιηταὶ καὶ χρειὼ τὴν χρείαν. Ὅμηρος·

χρειώ με κατήγαγεν εἰς Ἀΐδαο
ψυχῇ χρησόμενον Θηβαίου Τειρεσίαο.

Χοῖρος καὶ σῦς καὶ ὗς ἐπὶ παντὸς χοίρου· χλούνης δὲ καὶ μονιὸς καὶ χαυλιόδους και ἔτι κάπρος ο ἄγριος σῦς. ἔτι δὲ τὸ μὲν χλούνης καὶ μονιὸς καὶ χαυλιόδους ποιητῶν, τὰ δ' ἄλλα λογογράφων.

Χλευάζω λέγε, χλευασμὸς δέ μηκέτι, ἀλλὰ χλεύη και χλευασία. Λιβάνιος ἐν ἐπιστολῇ· τὰ γράμματα δὲ χλευασίαν οἰήσῃ.

Χιτὼν ἐπὶ ἀνδρός. Ἀριστείδης ἐν τῇ πρὸς τοὺς βασιλέας ἐπιστολῇ πρὸς δὲ τοὺς στρατιώτας τοὺς χιτῶνας ἐνείμαντο. χιτώνιον δὲ ἐπὶ γυναικός. Ἀριστοφάνης ἐν Πλούτῳ·

καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον.

Λουκιανὸς ἐν τῷ Λεξιφάνης· τίς οὐκ οἶδεν, ὅτι χιτώνιον μὲν γυναικὸς ἐσθής;

Χρηματίζω τὸ ὑπάρχω καὶ τὸ διαλέγομαι, ὅπερ ἐπὶ ὑπερέχοντος λέγεται. Λιβάνιος ἐν ἐπιστολῇ· ὡς γὰρ ἐχρημάτιζεν ὁ Πέρσης. εὕρηται δὲ ἅπαξ καὶ ἀπ ἐλάττονος πρὸς μείζονα παρ' Ἡροδότῳ ἐν τῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρίτῃ· ἤθελεν ἐς τὰ βασιλήια ἐσελθὼν χρηματίσασθαι τῷ βασιλεῖ. καὶ χρηματίζομαι παθητικῶς τὸ χρήματα συνάγω. καὶ χρηματιστὴς καὶ ὁ διαλεγόμενος καὶ ὁ χρήματα συνάγων. Θουκυδίδης ἐν τῇ ὀγδόῃ· ἵνα τοὺς Φοίνικας προαγαγὼν εἰς τὴν Ἄσπενδον ἐκχρηματίσαιτο ἀφείς. ἐξαργυρίζω δὲ τό ἀργύρου πωλῶ τι. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· οὐδ' ἂν δέῃ τελευτῶντα τὴν αὐτοῦ στρωμνὴν ἐξαργυρίσαι.

## Ψ.

Ψάλλιον ὁ χαλινός. Εὐριπίδης ἐν Φοινίσσαις·

ψαλλίοις τετραβάμοσι μωνύχων πώλων.

ψέλλιον δὲ γυναικεῖος κόσμος. Λουκιανὸς ἐν τῇ θεῶν ἐκκλησίᾳ· καὶ ἀντὶ Διὸς ἢ ὅρμος ἢ ψέλλιον ἢ ἐλλόβιον ἡμῖν γένῃ.

Ψυχθῆναι καὶ ψυχῆναι, οὐ ψυγῆναι.

Ψίθυρος οὐ ψιθυριστής.

Ψίλαξ ποιηταί, ὡς Ἀριστοφάνης. ψιλὸς δὲ καὶ λεῖος λογαγράφοι.

Ψυχὴ ἡ λογικὴ ἤγουν ἡ ἐν τῷ ἀνθρώπῳ, καὶ ἡ ἄλογος ἤγουν ἡ ἐν τοῖς ζώοις, καὶ ἡ ἐν τοῖς φυτοῖς θρεπτικὴ καὶ αὐξητικὴ δύναμις. ψυχὴ καὶ ἡ ζωὴ ἁπλῶς. Ἡρόδοτος ἐν τῇ τρίτῃ· ἔλεγον πρὸς τὰς γυναῖκας, ὡς βασιλεῖ οὗτος εἴη, ὃς τὴν ψυχὴν ἀπέδωκε. καὶ Εὐριπίδης ἐν Ἑκάβῃ.

ἐπεὶ δὲ Τροία θ' Ἕκτορός τ' ἀπόλλυται

ψυχή.

τινὲς δὲ ἐνταῦθα τὸ ἀπόλλυται κατὰ τὸ ἓν σημαινόμενο ντῆς ἀπωλείας ἀντὶ τοῦ ἀφανὴς ἐγένετο λαμβάνουσι περὶ τῆς λογικῆς ψυχῆς εἶναι τὸν λόγον φρονοῦντες, ἐξελθοῦσα δηλα δὴ[ἀπὸ] τοῦ σώματος: ψυχὴ καὶ ἡ φύσις, ὡς παρὰ Σοφοκλεῖ ἐν Ἠλέκτρᾳ.

τῆς ἐμῆς ψυχῆς γεγώς.

Καὶ ψάμμος καὶ ἄμμος. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· ὑπερβαλόντι καταρράκτας ψάμμος ἔνθεν καὶ ἔνθεν ἐστὶ τοῦ Νείλου. καὶ πάλιν ἐν τῷ αὐτῷ· καὶ αἱ περὶ τὰς εἰσβολὰς τὰς ἐξ Ἀράβων εἰς Αἴγυπτον ψάμμοι. καὶ αὖθις ἐν τῷ αὐτῷ· ἄμμοι δ' ἐκεῖναι,καὶ γῆς χάσματα.καὶ ἐν τῷ αὐτῷ πάλιν·διὰ τῆς ἄμμου τῆς ἄνω διεξῆλθε. καὶ Πλάτων ἐν Φαίδωνι· σήραγγες δὲ καὶ ἄμμος καὶ πηλὸς ἀμήχανος.

Τὰ συγκριτικὰ καὶ πρὸς ἕνα ἔχει τὴν σύγκρισιν καὶ πρὸς πολλούς, οἷον τιμιώτερος τοῦδε καὶ τιμιώτερος τούτων· τὰ δὲ ὑπερθετικὰ ἀεὶ ἐπὶ πληθυντικοῦ. εἰ δέ που καὶ ἐπὶ ἑνικοῦ τάττονται, ἀλλὰ συγκριτικοῦ σημασίαν ἔχουσιν, ἐφ' ἑαυτῶν τὴν συγκριτικὴν ταύτην ὑπέρθεσιν ἔχοντα. Ἀριστείδης ἐν τῷ εἰς τὸ φρέαρ τοῦ Ἀσκληπιοῦ· θέρους μὲν ψυχρόταταν ὂν αὐτὸ ἑαυτοῦ. καὶ ἐν πέμπτῳ τῶν ἱερῶν· ἐρρωμενέστατα ἐμαυτοῦ διετέθην. καὶ ἐν τῷ Αἰγυπτίῳ· βιαιότατός ἐστιν αὐτὸς αὑτοῦ.

Ψεῦδος [λέγε], οὐ ψεῦσμα, εἰ καὶ ὁ αὐτὸς ἐν τῷ αὐτῷ ἅπαξ· καὶ τί τούτου τραγικώτερον ψεῦσμα;



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Ω

ʼΩνήσομαι κάλλιον ἢ ἀγοράσω· ὠνήμην ἢ ὠνάμην. Λουκιανὸς ἐν τῷ Προμηθεῖ ὤνησο διότι μὴ καὶ ὁ Ζεὺς ταῦτα ἐπήκουσέ σου. Ἡρόδοτος ἐν τῇ πρώτῃ· τὴν Τιμήσιος κτίσας οὐκ ἀπώνητο.

ʼΩχρος ποιητικόν. Ὅμηρος ἐν γʹ Ἰλιάδος·

ὦχρος δέ μιν εἷλε παρειάς.

ὠχρίασις κοινόν· ὠχριᾶν δὲ λογογράφων. κάλλιον δὲ τὸ ὠρακιᾶν, ὅπερ ἐστὶ τὸ ἐκ λειποθυμίας ὠχριᾶν.

Ὡσαύτως καὶ παραπλησίως καὶ κατὰ ταὐτά.

Ὤμνυσαν κρεῖττον ἢ ὤμνυον.

ʼΩιδεῖον τόπος ἦν Ἀθήνησιν εἰς τὸ ἐπιδείκνυσθαι τοὺς μουσικούς, ὅθεν καὶ ᾠδεῖον ἐκλήθη. διεμετρεῖτο δὲ ἐν τῷ τοιούτῳ τόπῳ καὶ ἄλφιτα.

Ὤθω τὸ χερσὶν ἀπωθῶ. γράφεται δὲ καὶ ὠθέω ὠθῶ καὶ ὠθοῦμαι καὶ ἐπὶ ἐνεργητικῆς καὶ παθητικῆς σημασίας

Ὤμιλλα παιδιά τις ἦν, ἐν ᾗ ὁ εἰς τὸν κύκλον βαλὼν κάρυον, ὥστε ἐμμεῖναι ἐνίκα.

ʼΩμογέρων λέγε καὶ μὴ παρʼ ἡλικίαν γεγηρακώς.

Ὤνευον ἀντὶ τοῦ ἐκίνουν καὶ περιῆγον ἀπὸ τῶν τοὺς μύλωνας κινούντων ὄνων. Θουκυδίδης ἐν τῇ ἕκτῃ· ἔκ τε τῶν ἀκάτων ὤνευον ἀναδούμενοι τοὺς σταυρούς.

ʼΩτακουστεῖν τὸ τὰ κρύφια μανθάνειν διά τινων. καὶ ὠτακουστής.

Ὦτος ὄρνεον, ὅπερ ἐπαινούμενον καὶ ἀντορχούμε-

νον,ὥσπερ ὁ νυκτικόραξ,ἁλίσκεται·διόπερ τοὺς χαύνους καὶ κενοδόξους οὕτω καλοῦσιν.

Ὠφέλιμον τὸ ὠφέλειαν ἐμποιοῦν. τὰ γὰρ εἰς **μος** τὰ μὲν εἰσὶν ἐνεργητικὰ, οἷον ὠφέλιμος, τὰ δὲ παθητικὰ, οἷον τρόφιμος ὁ τρεφόμενος ὑπό τινος. καὶ πάλιν τὰ μὲν αὐτῶν εἰσι δυνάμει, οἷον ἰάσιμος ὁ δυνάμενος ἰαθῆναι, τὰ δὲ ἐνεργείᾳ, οἷον ἀοίδιμος ὁ ἀεὶ ᾀδόμενος καὶ ὑμνούμενος.

Ὠφελῶ σε πάντες ῥήτορες· πρὸς δοτικὴν δὲ μόνοι ποιηταί. Αἰσχύλος ἐν Πέρσαις·

ὡς τοῖς θανοῦσι χρήματ' οὐδὲν ὠφελεῖ.

καὶ Θουκυδίδης ἅπαξ ἐν τῇ πέμπτῃ· ὠφελεῖν Ἀθηναίους Λακεδαιμονίοις τρόπῳ ᾧ ἂν δύνωνται.

Τὸ ὦ μετὰ κλητικῆς οὐδέποτε ὀξύνεται, εἰ καὶ ἔκπληξιν ὁ λόγος ἔχει καὶ θαῦμα, οἷον Ἡράκλεις, ὦ θαῦμα θαυμάτων. οὐ γὰρ τὸ ὦ μόνον ἐν τούτοις ἐμφαίνει τὴν ἔκπληξιν καὶ τὸ θαῦμα, ἀλλὰ μετὰ τῶν κλητικῶν. ὅτε δὲ ἐπάγεται γενικὴ, ἐξ ἀνάγκης ὀξύνεται· τότε γὰρ πάντως ἢ σχετλιαστικόν ἐστιν, ὢ τῆς ἐμῆς ἀθλιότητος, ἢ θαυμαστικὸν, οἷον ὢ τοῦ ξένου μετάλλου. διὸ καὶ τὴν γενικὴν ἔχει ἐπαγομένην λαμβανομένου ἔξωθεν τοῦ ἕνεκα.

Οὐ μόνον ὥρα καὶ ἔαρ,ἀλλὰ καὶ ὡραία. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης· οὕτω νόμῳ μὲν τῆς ὡραίας ἐτύγχανεν ἀφιγμένος οἴκαδε.

Τὸ ὡς ἀντὶ τοῦ καθὰ, ἀντὶ τοῦ οὕτως, ἀντὶ τοῦ ὄντως, ἀντὶ τοῦ ἐπεί, ἀντὶ τοῦ λίαν καὶ ἀντὶ τοῦ ἵνα, ὅπερ καὶ εὐκτικῷ καὶ ὑποτακτικῷ συντάσσεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Λουκιανὸς ἐν τῷ Χάρων ἢ ἐπισκοποῦντες· ὡς εἰδῶσιν ἄνθρωποι ὄντες. καὶ ἐν τῷ Διογένους καὶ Ἡρακλέους διαλόγῳ· ὡς μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ὅτι· καὶ ἀντὶ τῆς εἰς προθέσεως ἐπὶ κινήσεως καὶ ἐπὶ ἐμψύχου. Ἀριστείδης ἐν τῷ πρὸς Θηβαίους περὶ συμμαχίας πρώτῳ λόγῳ· τότε μὲν γὰρ ἐλθόντων ὑμῶν ὡς ἡμᾶς ἠκούσαμεν. ἅπαξ δὲ καὶ ἐπὶ ἀψύχου Θουκυδίδης εἶπεν ἐν τῇ ὀγδόῃ· ἀπέπλευσαν ὡς Ἄβυδον. τὸ δὲ ὡς ἂν ποτὲ μὲν τὸ καθὰ δηλοῖ. Σοφοκλῆς ἐν Αἴαντι·

> ὡς ἂν ποιήσῃς, πανταχοῦ χρηστὸς ἔσῃ.

ποτὲ δὲ ἀντὶ τοῦ ἵνα· Ἀριστοφάνης ἐν Πλούτῳ·

> σὺ δ' ὡς ἂν εἰδῇς, ὅσα παρ' ἡμῖν ἦν μένης,
> γενήσετ' ἀγαθά.

[ὅπερ ἐπὶ ὑποτακτικοῦ ἀεὶ τίθεται· ἅπαξ δὲ καὶ ἐπὶ εὐκτικοῦ.] ποτὲ δὲ ἀντὶ τοῦ ὡς μόνον, μηδεμίαν τοῦ ἂν δύναμιν ἔχοντες, [τιθέμενον καὶ ἐπὶ μετοχῆς καὶ ἀπαρεμφάτου].

ΤΕΛΟΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ